  nobile Lysippi munus opusque vides.
hoc habuit numen Pellaei mensa tyranni,
  qui cito perdomito victor in orbe iacet (...).

62. Πλινίου Πρεσβυτέρου, *Naturalis Historia* 4.34.
In ora Heraclea, flumen Apilas, oppida Pydna, Aloros, amnis Haliacmon. Intus Aloritae, Vallaei, Phylacaei, Cyrrestae, Tyrissaei, Pella colonia, oppidum Stobi civium Romanorum, mox Antigonea, Europus ad Axium amnem, eodemque nomine per quod Rhoedias fluit, Scydra, Eordaea, Mieza, Gordyniae.

63. Πλινίου Πρεσβυτέρου, *Naturalis Historia* 6.138.
Charax, oppidum Persici sinus intimum, a quo Arabia Eudaemon cognominata excurrit, habitatur in colle manu facto inter confluentes dextra Tigrim, laeva Eulaeum, II p. laxitate.

---

6. Ο Λουκανὸς χρησιμοποιεῖ συχνὰ τὸ ἐπίθετο Pellaeus μὲ τὴν συνεκδοχικὴ ἔννοια *Μακεδὼν* γενικώτερα ἢ γιὰ τοὺς Πτολεμαίους τῆς Αἰγύπτου εἰδικώτερα, ἐνῷ τὸ οὐσιαστικοποιημένο ἐπίθετο τὸ χρησιμοποιεῖ ὡς συνώνυμο τοῦ Ἀλεξάνδρου Γ΄· βλ. 3.233, 5.60, 8.237, 8.298, 8.475, 8.607, 9.153, 9.1016, 9.1073, 10.52, 10.511. Ἡ χρήση αὐτὴ τοῦ ἐπιθέτου Pellaeus ἢ τοῦ τοπωνυμίου Pella μαρτυρεῖται καὶ ἀλλοῦ στὴν λατινικὴ γραμματεία· βλ. ἀκόμη π.χ. Βιργιλίου, *Georgicon* 4.287-288· Σιλίου Ἰταλικοῦ 11.381-382· 13.763-766· Κλαυδιανοῦ, *In Eutropium* 18.482-483· τοῦ ἰδίου, *De consulato Stilichonis* 24.30-33· Ἀβιηνοῦ, *Descriptio orbis terrae* 370, ἐνῷ ἀπηχεῖται καὶ στὸν Ψευδο-Καλλισθένη (βλ. μαρτ. ΠΕΛ 104 καὶ 108). Στὶς παροῦσες μαρτυρίες ἔχουν περιληφθεῖ μόνον παρόμοιες στερεοτυπικὲς χρήσεις τοῦ ἐπιθέτου γιὰ τὸν Φίλιππο Β΄ ἢ τὸν Ἀλέξανδρο Γ΄, ποὺ μποροῦν νὰ θεωρηθοῦν καὶ stricto sensu Πελλαῖοι.

Conditum est primum ab Alexandro Magno, colonis ex urbe regia Durine, quae tum interiit, deductis, militum inutilibus ibi relictis; Alexandriam appellari iusserat pagumque Pellaeum a patria sua, quem proprie Macedonum fecerat.

64. Πλινίου Πρεσβυτέρου, *Naturalis Historia* 6.216.
Quinto continentur segmento ab introitu Caspii maris Bactri, Hiberia, Armenia, Mysia, Phrygia, Hellespontus, Troas, Tenedus, Abydos, Scepsis, Ilium, Ida mons, Cyzicum, Lampsacum, Sinope, Amisum, Heraclea in Ponto, Paphlagonia, Lemnus, Imbrus, Thasus, Cassandria, Thessalia, Macedonia, Larisa, Amphipolis, Thessalonice, Pella, Edesus, Beroea, Pharsalia, Carystum, Euboea Boeotum, Chalcis, Delphi, Acarnania, Aetolia, Apollonia, Brundisium, Tarentum, Thurii, Locri, Regium, Lucani, Neapolis, Puteoli, Tuscum mare, Corsica, Baliares, Hispania media.

65. Πλινίου Πρεσβυτέρου, *Naturalis Historia* 31.50.
Quaedam aquae vere statim incipiente frigidiores sunt, quarum non in alto origo est –hibernis enim constat imbribus–, quaedam a canis ortu, sicut in Macedoniae Pella utrumque. Ante oppidum enim incipiente aestate frigida est palustris, dein maximo aestu in excelsioribus oppidi riget.

66. Πλινίου Πρεσβυτέρου, *Naturalis Historia* 35.98.
Aequalis eius fuit Aristides Thebanus. Is omnium primus animum pinxit et sensus hominis expressit, quae vocant Graeci ἤθη, item perturbationes, durior paulo in coloribus. Huius opera (...) oppido capto ad matris morientis ex volnere mammam adrepens infans, intellegiturque sentire mater et timere, ne emortuo e lacte sanguinem lambat. Quam tabulam Alexander Magnus transtulerat Pellam in patriam suam.

67. Πομπωνίου Μέλα, *De chorographia* 2.30.
Tum Macedonum populi <ali>quot urbes habitant, quarum Pelle est maxime inlustris. Alumni efficiunt, Philippus Graeciae domitor, Alexander etiam Asiae.

68. Σίλιος Ἰταλικός 17.426-431.
Archemorum Rutilus, Teucrum Norbanus (et ambo
Mantua pubenti genetrix dimiserat aevo),
obtruncat Samium bellacis dextra Caleni,
at Clytium Selius, Pellaeum et vana tumentem
ad nomen patriae Clytium; sed gloria Pellae
haud valuit misero defendere Daunia tela.

69. Δίωνος Χρυσοστόμου, *Ταρσικὸς πρῶτος* 27.
Οἳ νεωστὶ μὲν τὰ ῥάκη περιῃρημένοι καὶ ποιμένες ἀκούοντες <καὶ> τοῖς Θρᾳξὶ περὶ τῶν μελινῶν μαχόμενοι τοὺς Ἕλληνας ἐκράτησαν, εἰς τὴν Ἀσίαν διέβησαν, ἄχρις Ἰνδῶν ἦρξαν. Ἐπεὶ δὲ τὰ ἀγαθὰ τὰ Περσῶν ἔλαβον, τούτοις ἐπηκολούθησε καὶ τὰ κακά. Τοιγαροῦν ἅμα σκῆπτρα

καὶ ἁλουργίδες καὶ Μηδικὴ τράπεζα καὶ τὸ γένος αὐτῶν ἐξέλιπεν· ὥστε νῦν εἴ τις διέρχοιτο Πέλλαν, οὐδὲ σημεῖον ὄψεται πόλεως οὐδέν, δίχα τοῦ πολὺν κέραμον εἶναι συντετριμμένον ἐν τῷ τόπῳ.

70. Δίωνος Χρυσοστόμου, *Περὶ τοῦ δαίμονος* 6.
Ἀλέξανδρος δὲ ὕστερον μετ' ἐκεῖνον εἰς τὴν Ἀσίαν ἐξαγαγὼν ἅμα μὲν πλουσιωτάτους ἁπάντων ἀνθρώπων ἀπέδειξεν, ἅμα δὲ πενιχροτάτους, καὶ ἅμα μὲν ἰσχυρούς, ἅμα δὲ ἀσθενεῖς, φυγάδας τε καὶ βασιλέας τοὺς αὐτούς, Αἴγυπτον μὲν καὶ Βαβυλῶνα καὶ Σοῦσα καὶ Ἐκβάτανα προσθείς, Αἰγὰς δὲ καὶ Πέλλαν καὶ Δῖον ἀφελόμενος.

71. Ἰουβενάλης 10.168-170.
Unus Pellaeo iuveni non sufficit orbis,
aestuat infelix angusto limite mundi
ut Gyarae clausus scopulis parvaque Seripho.

72. Πλουτάρχου, *Αἰμίλιος* 23.1-6.
[1] Περσεὺς δὲ φυγῇ μὲν ἐκ Πύδνης εἰς Πέλλαν ἀπεχώρει, τῶν ἱππέων ἐπιεικῶς πάντων ἀπὸ τῆς μάχης διασεσῳσμένων (...). **[6]** Ἐπεὶ δὲ νυκτὸς εἰς Πέλλαν εἰσελθὼν Εὔκτον καὶ Εὔλαιον τοὺς ἐπὶ τοῦ νομίσματος ἀπαντήσαντας αὐτῷ, καὶ τὰ μὲν ἐγκαλοῦντας περὶ τῶν γεγονότων, τὰ δὲ παρρησιαζομένους ἀκαίρως καὶ συμβουλεύοντας, ὀργισθεὶς ἀπέκτεινεν αὐτὸς τῷ ξιφιδίῳ παίων ἀμφοτέρους (...).

73. Πλουτάρχου, *Εὐμένης* 3.9.
Λόγος μὲν γὰρ ἦν ἡ βοήθεια καὶ πρόφασις, ἐγνώκει δὲ διαβὰς εὐθὺς ἀντιποιεῖσθαι Μακεδονίας, καί τινας ἐπιστολὰς ἔδειξε Κλεοπάτρας, μεταπεμπομένης αὐτὸν εἰς Πέλλαν ὡς γαμησομένης.

74. Πλουτάρχου, *Ἀλέξανδρος* 69.3.
Ἔπειτα τὸν Κύρου τάφον εὑρὼν διορωρυγμένον, ἀπέκτεινε τὸν ἀδικήσαντα, καίτοι Πελλαῖος ἦν οὐ τῶν ἀσημοτάτων ὁ πλημμελήσας, ὄνομα Πουλάμαχος.

75. Πλουτάρχου, *Δημήτριος* 43.1 καὶ 4.
[1] Ὁ δ' οὖν Δημήτριος ἐπισφαλέστατα νοσήσας ἐν Πέλλῃ, μικροῦ τότε Μακεδονίαν ἀπέβαλε, καταδραμόντος ὀξέως Πύρρου καὶ μέχρι Ἐδέσσης προελθόντος (...). **[4]** Στόλον δὲ νεῶν ἅμα πεντακοσίων καταβαλλόμενος, τὰς μὲν ἐν Πειραιεῖ τρόπεις ἔθετο, τὰς δ' ἐν Κορίνθῳ, τὰς δ' ἐν Χαλκίδι, τὰς δὲ περὶ Πέλλαν (...).

76. Πλουτάρχου, *Περὶ τῆς Ἀλεξάνδρου τύχης ἢ ἀρετῆς* 339B.
Ἐπεί γ' ἐν πέλταις καὶ σαρίσσαις καὶ ἀλαλαγμοῖς καὶ συρράξεσιν ὅπλων ἀνίκητος ἦν καὶ <Ἀ>ταρρίας ὁ Δεινομένους καὶ Ἀντιγένης ὁ Πελληναῖος[7] καὶ Φιλώτας ὁ Παρμενίωνος, ἀλλὰ πρὸς ἡδονὰς καὶ γύναια καὶ χρυσίον καὶ ἀργύριον οὐθέν τι βελτίους τῶν αἰχμαλώτων.

7. Μᾶλλον σφάλμα ἀντὶ *Πελλαῖος*.

77. Πλουτάρχου, *Περὶ τῆς Ἀλεξάνδρου τύχης ἢ ἀρετῆς* 339E.
Ἀντιγόνα γὰρ ἦν Πελλαῖον γύναιον ἐν τοῖς περὶ Δαμασκὸν αἰχμαλώτοις, ἡλώκει δ' ὑπ' Αὐτοφραδάτου πρότερον εἰς Σαμοθρᾴκην διαπλεύσασα, τὴν δ' ὄψιν ἦν ἱκανή, καὶ τὸν Φιλώταν ἁψάμενον αὐτῆς εἶχε μάλα.

78. Πλουτάρχου, *Περὶ φυγῆς* 603C.
Ἀριστοτέλη δὲ καὶ λελοιδόρηκε Θεόκριτος ὁ Χῖος ὅτι τὴν παρὰ Φιλίππῳ καὶ Ἀλεξάνδρῳ δίαιταν ἀγαπήσας

εἵλετο ναίειν

ἀντ' Ἀκαδημείας βορβόρου ἐν προχοαῖς.
(Ἔστι γὰρ ποταμὸς περὶ Πέλλην, ὃν Μακεδόνες Βόρβορον καλοῦσι)[8].

79. Πλουτάρχου, *Ὅτι οὐδ' ἡδέως ζῆν ἐστιν κατ' Ἐπίκουρον* 1096B.
Καὶ τί δήποτε τῶν θεάτρων ἂν ἄχυρα τῆς ὀρχήστρας κατασκεδάσῃς, ὁ ἦχος τυφλοῦται, καὶ χαλκοῦν Ἀλέξανδρον ἐν Πέλλῃ βουλόμενον ποιῆσαι τὸ προσκήνιον οὐκ εἴασεν ὁ τεχνίτης ὡς διαφθεροῦντα τῶν ὑποκριτῶν τὴν φωνήν.

80. Αἰλίου Ἀριστείδη, *Παναθηναϊκός* 183.
Πέλλῃ μὲν γὰρ οὐδεὶς ἂν φιλοτιμοῖτο πατρίδι οὐδὲ Αἰγαῖς, Ἀθηναῖος δὲ οὐδείς ἐστιν Ἑλλήνων ὅστις οὐκ ἂν εὔξαιτο μᾶλλον ἢ τῆς ὑπαρχούσης πόλεως πολίτης γεγονέναι.

81. Ἀππιανοῦ, *Συριακή* 57.
(...) πόλεις δὲ ᾤκισεν (*ἐνν. Σέλευκος Νικάτωρ*) ἐπὶ τὸ μῆκος τῆς ἀρχῆς ὅλης ἑκκαίδεκα μὲν Ἀντιοχείας ἐπὶ τῷ πατρί, πέντε δὲ ἐπὶ τῇ μητρὶ Λαοδικείας, ἐννέα δ' ἐπωνύμους ἑαυτοῦ, τέσσαρας δ' ἐπὶ ταῖς γυναιξί, τρεῖς Ἀπαμείας καὶ Στρατονίκειαν μίαν (...). Τὰς δὲ ἄλλας ἐκ τῆς Ἑλλάδος ἢ Μακεδονίας ὠνόμαζεν, ἢ ἐπὶ ἔργοις ἑαυτοῦ τισιν, ἢ ἐς τιμὴν Ἀλεξάνδρου τοῦ βασιλέως· ὅθεν ἔστιν ἐν τῇ Συρίᾳ καὶ τοῖς ὑπὲρ αὐτὴν ἄνω βαρβάροις πολλὰ μὲν Ἑλληνικῶν πολλὰ δὲ Μακεδονικῶν πολισμάτων ὀνόματα, Βέρροια, Ἔδεσσα, Πέρινθος, Μαρώνεια, Καλλίπολις, Ἀχαΐα, Πέλλα, Ὠρωπός, Ἀμφίπολις, Ἀρέθουσα, Ἀστακός, Τεγέα, Χαλκίς, Λάρισα, Ἥραια, Ἀπολλωνία, ἐν δὲ τῇ Παρθυηνῇ Σώτειρα, Καλλιόπη, Χάρις, Ἑκατόμπυλος, Ἀχαΐα, ἐν δ' Ἰνδοῖς Ἀλεξανδρόπολις, ἐν δὲ Σκύθαις Ἀλεξανδρέσχατα.

82. Ἀρριανοῦ, *Ἀνάβασις* 3.5.3.
Φρουράρχους δὲ τῶν ἑταίρων ἐν Μέμφει μὲν Πανταλέοντα κατέστησε τὸν Πυδναῖον, ἐν Πηλουσίῳ δὲ Πολέμωνα τὸν Μεγακλέους Πελλαῖον.

83. Ἀρριανοῦ, *Ἀνάβασις* 6.28.4.
(...) εἶναι δὲ αὐτῷ ἑπτὰ εἰς τότε σωματοφύλακας, Λεοννᾶτον Ἀντέου[9], Ἡφαιστίωνα τὸν

8. Γιὰ τὸ ἐπίγραμμα τοῦ Θεοκρίτου, ποὺ παραδίδεται σὲ πολλὲς ἀρχαῖες πηγές, βλ. Page, *Epigrammata Graeca* 56. Ἡ πληροφορία τοῦ Πλουτάρχου ἴσως «ἑρμηνεύει» αὐθαίρετα τὸν ὅρο *βόρβορος*, ποὺ φαίνεται νὰ ἔχει μεταφορικὴ ἠθικὴ σημασία· πρβλ. D. T. Runia, «Theocritus of Chios' Epigram against Aristotle», *CQ* 36 (1986) 531-34.

9. Ἡ χειρόγραφη παράδοση τοῦ πατρωνύμου τοῦ Λεοννάτου εἶναι προβληματική· ἐπὶ πλέον, στὴν *Ἰνδική* 18.3

Ἀμύντορος, Λυσίμαχον Ἀγαθοκλέους, Ἀριστόνουν Πεισαίου, τούτους μὲν Πελλαίους, Περδίκκαν δὲ Ὀρόντου ἐκ τῆς Ὀρεστίδος, Πτολεμαῖον δὲ Λάγου καὶ Πείθωνα Κρατεύα Ἐορδαίους· ὄγδοον δὲ προσγενέσθαι αὐτοῖς Πευκέσταν τὸν Ἀλεξάνδρου ὑπερασπίσαντα.

84. Ἀρριανοῦ, *Ἰνδική* 18.3.
Τριήραρχοι δὲ αὐτῷ ἐπεστάθησαν ἐκ Μακεδόνων μὲν Ἠφαιστίων τε Ἀμύντορος καὶ Λεοννᾶτος ὁ Εὔνου καὶ Λυσίμαχος ὁ Ἀγαθοκλέους καὶ Ἀσκληπιόδωρος ὁ Τιμάνδρου καὶ Ἄρχων ὁ Κλεινίου καὶ Δημόνικος ὁ Ἀθηναίου καὶ Ἀρχίας ὁ Ἀναξιδότου καὶ Ὀφέλλας Σειληνοῦ καὶ Τιμάνθης Παντιάδου. Οὗτοι μὲν Πελλαῖοι· Ἐορδαῖοι δὲ Πτολεμαῖός τε ὁ Λάγου καὶ Ἀριστόνους ὁ Πεισαίου (...).[10]

85. Ἀνωνύμου (Φλέγωνος, *Ὀλυμπιάδες*;) (*FGrHist* 257a F3 = *P. Oxy.* 17.2082, ἀπ. 3, στ. 15-26).
[**15**] Ἐτελεύτησε δὲ καὶ [Κά]σσανδρος [ὁ τῶν] | Μακεδόνων βασιλεὺς ἀρρωστή|σας ἐν Πέλλῃ μῃ[νὸς] | Ἀρτεμι[σί]ου ἐμβολίμου δ[εκάτῃ (;)] φθίνον|τος, τὴν δὲ β[ασιλείαν] παρέ|λαβε [**20**] Φί[λιππος ὁ πρεσβ]ύτατος | τῶν υἱῶ[ν, ὅσπερ ἐβα]σ̣[ί]λευσε | μῆνας [δ΄ (;). . . . . .[11]. . . . .]α̣το Δίυλλ[ος] | Φ[α]νοδ[ήμου . . . .[7]. . .].ς χρονο|[γρα]φ̣.[. . . . . .[12]. . . . . .]ωι ἔτει Φί|[λι]π̣πο[ς] [**25**] ὁ βασιλεὺς τῶν] Μακεδό|νων [. . . . . .[12]. . . . . .] μετήλ|[λαξε].

86. Παυσανίας 1.16.1.
Σελεύκῳ γάρ, ὡς ὡρμᾶτο ἐκ Μακεδονίας σὺν Ἀλεξάνδρῳ, θύοντι ἐν Πέλλῃ τῷ Διὶ τὰ ξύλα <τὰ> ἐπὶ τοῦ βωμοῦ κείμενα προύβη τε αὐτόματα πρὸς τὸ ἄγαλμα καὶ ἄνευ πυρὸς ἥφθη.

87. Κλαυδίου Πτολεμαίου, *Γεωγραφικὴ Ὑφήγησις* 3.12.36 (Stückelberger – Grasshoff 3.13.39).
Ἡμαθίας·
Εὐρωπός μζ° γ΄, μ° γ΄·
Τύρισσα μζ° L΄, λθ° Lγιβ΄·
Σκύδρα μζ° γο΄, μ° γ΄·
Μίεζα μη°, λθ° Lδ΄·
Κύρρος μη° ς΄, μ° γο΄·
Ἰδομένη μη° L΄, μ° Lγ΄·
Γορδυνία μη° γο΄, μ° δ΄·
Ἔδεσσα μη° Lδ΄, μ° γ΄·
Βέροια μη° Lδ΄, λθ° Lγ΄·
Αἰγαία μη° γο΄, λθ° γο΄·
Πέλλα μθ° γ΄, μ° ιβ΄.

88. Κλαυδίου Πτολεμαίου, *Γεωγραφικὴ Ὑφήγησις* 8.12.8.
Ἡ δὲ Πέλλα τὴν μέγιστην ἡμέραν ἔχει ὡρῶν ιδ΄ LγιΒ΄ ἔγγιστα καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας Lδ΄ ἔγγιστα.

(βλ. τὸ ἑπόμενο χωρίο) τὸ πατρώνυμο σημειώνεται ὡς *Εὔνου*· πρβλ. Tataki, *Macedonians* 156, ἀρ. 55 μὲ τὶς πηγὲς καὶ βιβλιογραφία μὲ τὴν σχετικὴ συζήτηση.

10. Γιὰ τὸν Ἀρχία βλ. μαρτ. ΠΕΛ ζ΄ καὶ ἐπιγραφὴ ἀρ. **434**, κατωτέρω.

89. Λουκιανοῦ, *Ἀλέξανδρος ἢ Ψευδόμαντις* 6.
Ἐν δὴ τούτοις καὶ Μακέτιν γυναῖκα πλουσίαν, ἔξωρον μέν, ἐράσμιον δὲ ἔτι εἶναι βουλομένην, ἐξευρόντες ἐπεσιτίσαντό τε τὰ ἀρκοῦντα παρ' αὐτῆς καὶ ἠκολούθησαν ἐκ τῆς Βιθυνίας εἰς τὴν Μακεδονίαν. Πελλαία δὲ ἦν ἐκείνη, πάλαι μὲν εὐδαίμονος χωρίου κατὰ τοὺς τῶν Μακεδόνων βασιλέας, νῦν δὲ ταπεινοῦ καὶ ὀλιγίστους οἰκήτορας ἔχοντος.

90. Λουκιανοῦ, *Ἀλέξανδρος ἢ Ψευδόμαντις* 12.
Καὶ ὁ Πελλαῖος δὲ δράκων προϋπῆρχεν καὶ οἴκοι ἐτρέφετο, κατὰ καιρὸν ἐπιφανησόμενος αὐτοῖς καὶ συντραγῳδήσων, μᾶλλον δὲ πρωταγωνιστὴς ἐσόμενος.

91. Λουκιανοῦ, *Ἀλέξανδρος ἢ Ψευδόμαντις* 15.
(...) ἐν οἰκίσκῳ τινὶ ἐπὶ κλίνης καθεζόμενος μάλα θεοπρεπῶς ἐσταλμένος ἐλάμβανεν εἰς τὸν κόλπον τὸν Πελλαῖον ἐκεῖνον Ἀσκληπιόν, μέγιστόν τε καὶ κάλλιστον, ὡς ἔφην, ὄντα (...).

92. [Εὐριπίδου], *Ἐπιστολαί* 1.2.
Περὶ δὲ τῶν Πελλαίων νεανίσκων καὶ πρότερον ἤδη ἐπεστείλαμέν σοι δεόμενοι, καὶ νῦν δεόμεθα σῶσαί τε αὐτοὺς καὶ ἀνεῖναι τῶν δεσμῶν· οὐδὲν γὰρ ἀδικεῖν ἐοίκασιν ἢ οὐδὲν βλάψειν ἀφεθέντες ἔτι· μέτριον δὲ καὶ τὸ χαρίσασθαι δεομένοις ἡμῖν καὶ τὸ ἐλεῆσαι δὲ τὸν πατέρα αὐτῶν γέροντα, ὡς ἔστι πυνθάνεσθαι τῶν εὐγενεστάτων ἐν Πέλλῃ καὶ κατὰ τἆλλα δοκίμων, ὃς αὐτὸς ἐλθὼν Ἀθήναζε ἐφ' ἡμᾶς κατέφυγεν, ἐλπίσας δύνασθαί τι παρὰ σοί, καὶ ἐδεήθη ταῦτα ἐπιστεῖλαί σοι. Ἀλλὰ μὴ φαυλότερος γένῃ περὶ ἡμᾶς ἢ ἐκεῖνος ὑπέλαβεν.

93. [Εὐριπίδου], *Ἐπιστολαί* 3.1.
Ἀφίκετο Ἀθήναζε πρὸς ἡμᾶς ὁ Πελλαῖος γέρων ἅμα τοῖς ἑαυτοῦ νεανίσκοις, καὶ ἐγένετο ἡ ὄψις, ὦ βέλτιστε βασιλεῦ, ἡδεῖα μὲν ἐμοὶ τῷ θεωμένῳ τε καὶ δι' ὃν ταῦτα ἐγένετο, καλὴ δὲ καὶ σοὶ ἀπόντι καὶ φέρουσα δόξαν πολλὴν καὶ ζῆλον παρὰ πᾶσι τοῖς τε ἐπιτηδείοις τοῖς ἐμοῖς καὶ Ἀθηναίων ὁπόσοι εἶδον (...).

94. [Εὐριπίδου], *Ἐπιστολαί* 4.1.
Καὶ τὰ περὶ τοὺς Πελλαίους, ὦ βέλτιστε Ἀρχέλαε, καὶ πολλὰ ἄλλα πεπολίτευταί σοι καλῶς καὶ πρὸς ἐμὲ καὶ πρὸς ἑτέρους ἐπιεικεῖς τε καὶ σπουδῆς ἀξίους πολλούς (...).

95. Ἡρωδιανοῦ, *Περὶ καθολικῆς προσῳδίας* 3.1.129 (Lentz).
Καὶ καθόλου τὰ ἀπὸ τῶν εἰς -α ἢ -η ἢ εἰς -ος παραγόμενα προπερισπᾶται, ὥρα ὡραῖος θύρα θυραῖος, Πέλλα Πελλαῖος, Γάζα Γαζαῖος, ὕλη ὑλαῖος, πύλη πυλαῖος, Δίκτη Δικταῖος, Οἴτη Οἰταῖος.

96. Ἡρωδιανοῦ, *Περὶ καθολικῆς προσῳδίας* 3.1.231 (Lentz).
Βούνομος· οὕτως ἐκαλεῖτο ἡ Μακεδονίας Πέλλα.

97. Ἡρωδιανοῦ, *Περὶ κλίσεως ὀνομάτων* 3.2.752 (Lentz).
Ἐὰν μὲν εὑρεθῇ δύο λλ, τῷ α χαίρει οἷον θύελλα, ἄελλα, ἄμιλλα, Σκύλλα, πλὴν τοῦ Ἕλλη

καὶ Πέλλη. Ἰδοὺ γὰρ ταῦτα δύο λλ ἔχοντα εἰς η καταλήγει (ἔστι δὲ τὸ μὲν Ἕλλη ὄνομα κύριον γυναικός, τὸ δὲ Πέλλη ὄνομα πόλεως).

98. Πολυδεύκης 6.82.
Ἄπιοι, μῆλα, ὄχναι, ἀχράδες, ἀσταφίδες, σταφυλαί, καὶ τούτων ὀνόματα ἐλάεως ἀμάμαξυς, φοινικοβάλανος, Κρητική, μελίνεως, μεθύσεως, χαιρένεως, ψιθία, Κρῆσσα, Σύρα, Ῥοδία, Λίβυσσα, Πράμνειος, ἀλωπέκεως, κορώνεως, Λημνία, Βυβλία, Νικοστρατία, Χαρόπη, Οἰνόπη, Πελλαία, Περγαία, Πελμηρίς, Πετραία, Σαμία, Σωχὶς ἡ καὶ Αἰγυπτία, Τορνία[11].

99. Ἰουστῖνος 13.4.23.
Bactrianos Amyntas sortitur, Sogdianos Soleus Staganor, Parthos Philippus, Hyrcanos Phrataphernes, Carmanos Tleptolemus, Persas Peucestes, Babylonios Archon Pellaeus, Arcesilaus Mesopotamiam.

100. Ἰουστῖνος 15.3.1.
Erat hic Lysimachus inlustri quidem Macedoniae loco natus[12].

101. Ἀμπέλιος 16.2 καὶ 5.
[16.2] Alexander, Philippi et Olympiadis filius, ex urbe Pella Macedoniae cum quadraginta milibus militum in Asiam transisset (...).
[5] Pseudophilippus, vir plebeius et degener, cum ex similitudine formae Philippus filium se esse persuasisset et Macedonas in bellum excitasset, inter initia tumultus comprehensus sub custodia missus est Romam, ubi cum ex custodia aufugisset, concitata rursus Macedonia Thraciam bello recepit. In arce regni paludatus ius dixit.

102. Κλήμεντος Ἀλεξανδρέως, *Προτρεπτικός* 4.54.5.
Νῦν μὲν τὸν Μακεδόνα τὸν ἐκ Πέλλης τὸν Ἀμύντου Φίλιππον ἐν Κυνοσάργει νομοθετοῦντες προσκυνεῖν, τὸν «τὴν κλεῖν κατεαγότα καὶ τὸ σκέλος πεπηρωμένον», ὃς ἐξεκόπη τὸν ὀφθαλμόν.

103. Κλήμεντος Ἀλεξανδρέως, *Παιδαγωγός* 1.7.55.
Ἀχιλλέως μὲν οὖν παιδαγωγὸν τὸν Φοίνικά φασι γεγονέναι καὶ τῶν Κροίσου παίδων Ἄδραστον, Ἀλεξάνδρου δὲ Λεωνίδην καὶ Φιλίππου Ναυσίθοον. Ἀλλ' ὁ μὲν γυναικομανής, ὁ Φοῖνιξ, ἦν, ὁ δὲ φυγάς, ὁ Ἄδραστος, ἦν, Λεωνίδης δὲ οὐ περιεῖλεν τὸν τῦφον τοῦ Μακεδόνος οὐδὲ Ναυσίθοος μεθύοντα τὸν ἐκ Πέλλης ἰάσατο.

---

11. Σὲ προηγούμενο χωρίο τοῦ Πολυδεύκους γιὰ γνωστὲς ποικιλίες οἴνου (6.15: *Καὶ ὁ μὲν οἶνος πόμα καὶ πῶμα καὶ ποτόν, ἡδύς, ἐπαγωγός, γλυκύς, αὐστηρός, μελιηδής, ἀνθοσμίας, Θάσιος, Χῖος καὶ ὁ τούτου ἄριστος Ἀριούσιος, Μενδαῖος, Μενδήσιος, Ἰσμαρικός, Λέσβιος, Πεπαρήθιος, Χαλυβώνιος, Πράμνειος, Μαρωνείτης*), ὁρισμένοι κώδικες φέρουν *Πολλαῖος* (Πελλαῖος) ἀντὶ *Πρέμνειος* (= Πράμνειος), μὲ ἀποτέλεσμα παλαιότερες ἐκδόσεις τοῦ λεξικοῦ νὰ διατηροῦν καὶ τὰ δύο ἐπίθετα.

12. Παρ' ὅτι δὲν κατονομάζεται ρητὰ στὸ παρὸν χωρίο, εἶναι βέβαιο ὅτι ὁ Λυσίμαχος καταγόταν ἀπὸ τὴν Πέλλα· πρβλ. Tataki, *Macedonians* 156, ἀρ. 58, μὲ τὶς βασικὲς γραμματειακὲς πηγές.

104. Οὐλπιανοῦ, *Σχόλια εἰς Δημοσθένην* 19.330.
<Πέλλῃ>· ἰστέον ὅτι Πέλλη ἐκλήθη διὰ τὸ ἀπὸ βοὸς εὑρῆσθαι τὴν προσηγορίαν πελλῆς τὸ χρῶμα, ὅ ἐστι τεφρῶδες κατὰ τὴν Μακεδόνων φωνήν, ἢ παρὰ τοὺς πέλλας τοὺς λίθους κατὰ τὴν Μακεδόνων φωνήν.

105. Οὐλπιανοῦ, *Σχόλια εἰς Δημοσθένην* 19.338.
Ἀλλὰ νὴ Δία ἐν τούτῳ τῷ χρόνῳ τοὺς ὅρκους· «ἐν τῷ χρόνῳ» ἐν ᾧ ἐκάθηντο ἐν Πέλλῃ τὸν Φίλιππον ἀναμένοντες.

106. Σολῖνος 40.4.
Notatur ergo eadem die conflagravisse templum Ephesi, qua Alexander Magnus Pellae natus est.

107. Ψευδο-Καλλισθένης 1.3.3.
Πολλὰ δὲ περινοστήσας (*ἐνν. ὁ Νεκτανεβώ*) ἔθνη εἰς Πέλλην τῆς Μακεδονίας παρεγένετο, <καὶ> ὀθόνην ἀμφιασάμενος οἷα προφήτης Αἰγύπτιος <καὶ> ἀστρολόγος [καὶ] ἐκαθέζετο δημοσίᾳ τῷ προσερχομένῳ σκέπτεσθαι.

108. Ψευδο-Καλλισθένης 1.13.2.
Οὕτως εἰπόντος αὐτοῦ τὸ παιδίον ἔλαβε τὴν δέουσαν ἐπιμέλειαν· στεφανηφορία δὲ καθ' ὅλην τὴν Πέλλην καὶ Θρᾴκην καὶ τὴν Μακεδονίαν ἐγένετο.

109. Ψευδο-Καλλισθένης 1.13.4.
Ἐπεὶ δὲ τῆς παιδικῆς τάξεως <ἐξέβη>, παιδαγωγὸς ἦν αὐτοῦ † Λακρητητις † μέλανος, τροφεὺς Λευκονίδης, διδάσκαλος δὲ γραμμάτων Πελλαῖος Πολυνείκης, μουσικῆς δὲ Λήμνιος Ἄλκιππος (...).

110. Ψευδο-Καλλισθένης 1.15.1.
Ἐπανελθὼν δὲ ὁ Φίλιππος εἰς τὰ ἴδια βασίλεια ἔπεμψεν εἰς Δελφοὺς χρησμὸν ληψόμενος, τίς ἄρα μετ' αὐτὸν βασιλεύσει καὶ δόρατι πάντας ὑποτάξει. Ἔφη δὲ ὁ χρησμός: «Ὅστις τὸν Βουκέφαλον ἵππον διὰ μέσης <τῆς> Πέλλης ἁλλόμενος ὀδεύσει».

111. Ψευδο-Καλλισθένης 1.20.1.
Ταύτην λαβὼν τὴν κληδόνα Ἀλέξανδρος ὑποστρέφει καὶ ἔρχεται εἰς τὴν Πέλλην καὶ εὑρίσκει ἀπόβλητον γεναμένην τὴν Ὀλυμπιάδα ὑπὸ Φιλίππου, γαμοῦντα δὲ τοῦτον τὴν ἀδελφὴν Ἀττάλου Κλεοπάτραν.

112. Ψευδο-Καλλισθένης 1.25.1.
Καὶ δὴ μεθ' ἡμέρας εἰς εὐστάθειαν αὐτῶν ἐλθόντων ἐνήλλετο ὁ Ἀλέξανδρος εἰς τὸν τοῦ πατρὸς ἀνδριάντα καὶ ἐβόησε φωνῇ μεγάλῃ λέγων: «Ὦ παῖδες Πελλαίων καὶ Ἀμφικτυόνων καὶ Θετταλῶν καὶ Λακεδαιμονίων καὶ τῶν ἄλλων Ἑλλαδικῶν ἐθνῶν, προσέρχεσθέ μοι Ἀλεξάνδρῳ ἑαυτοὺς ἐμπιστεύσαντες· ἐπιστρατεύσωμεν τοῖς βαρβάροις».

113. Ψευδο-Καλλισθένης 1.46a.6.
Ἀγνοεῖς, Ἀλέξανδρε, Θηβαῖος <ὢν> καὶ οὐχὶ Πελλαῖος;

114. Ψευδο-Καλλισθένης 2.15.6.
Πολλῆς οὖν σιγῆς γενομένης εἷς ἀνεπόλησεν αὐτόν, ὃς ἦν γενόμενος ἡγεμὼν τῆς Περσίδος [ὃς] ὀνόματι Παρασάγγης· ᾔδει γὰρ αὐτὸν κατὰ πρόσωπον, ἡνίκα τὸ πρῶτον ἦλθεν εἰς Πέλλην τῆς Μακεδονίας ὑπὸ Δαρείου πεμφθεὶς φόρους ἀπαιτῆσαι.

115. Ψευδο-Καλλισθένης 2.21.15.
Τὸ δὲ γυμνάσιον γενέσθω ἐν ἐπισήμῳ τόπῳ ὡς ἐν Πέλλῃ τῇ πόλει.

116. Ἀρνόβιος 4.29.1.
Et possumus quidem hoc in loco omnis istos, nobis quos inducitis atque appellatis deos, homines fuisse monstrare vel Agragantino Euhemero replicato, cuius libellos Ennius, clarum ut fieret cunctis, sermonem in Italum transtulit, vel Nicagora Cyprio vel Pellaeo Leonte vel Cyrenensi Theodoro vel Eippone ac Diagora Meliis vel auctoribus aliis mille, qui scrupolosae diligentiae cura in lucem res abditas libertate ingenua protulerunt.

117. Οὐαλέριος Ἰούλιος 1.7.
Post vero regalius et competentius alebatur. Nam et coronalia obsequia eidem undique confluebant tum Macedonia tum Pella tum Thracia multigenisque aliis gentibus in id certantibus. Atque in his exegit spatia lactandi.

118. Οὐαλέριος Ἰούλιος 1.9.[13]
Enim Philippus Delphos misit super regni suique sollicitus successore responsumque accepit in hunc modum: "O Philippe, is demum tuis omnique orbe potietur et hasta omnia subiugabit, quicunque Bucephalam equum insiliens medium Pellae transierit".

119. Οὐαλέριος Ἰούλιος 1.19.
Ubi igitur iam moti animi hominum illa rerum novitate quietiores visi esse potuerunt, scandit Alexander paternae statuae suggestum et propter illam adsistens in haec verba contionatur: "O Pellae proles et Macedonum vel Atheniensium Corinthique progenies ceterarumque Graeciae gentium nomina, en tempus est, quisquis Alexandro sese cupiat militare, ut scilicet nunc nomen labori fateatur".

120. Οὐαλέριος Ἰούλιος 1.42.
Non beatissimum ratus, si contentus imperio Pellae ac Macedoniae secessu audaciam tuam inter proximos iactitares?

121. Θεμιστίου, *Εἰς τὸν αὐτοκράτορα Κωστάντιον* 58.

---

13. Πρβλ. Πλουτ., *Ἀλέξ.* 6.1.

Καὶ ἐπειδὴ Ἀλεξάνδρου ἐμνήσθη μικρῷ πρόσθεν ὁ λόγος, τῆς μὲν Ἀλεξάνδρου εὐτυχίας Πέλλα οὐδὲν συναπώνατο ἢ συναπέλαυσεν, ἀλλὰ τοσαύτην γῆν κτησάμενος ἐν ἑαυτῷ πλέθρῳ ἑνὶ μείζω οὐκ ἐποίησε τὴν πατρίδα, βασιλεῖ δὲ εἰκότως συναυξάνεται πόλις ἡ τῆς βασιλείας ἡλικιῶτις.

122. Λιβανίου, *Κατ' Αἰσχίνου* 424.
Φίλιππος ἀμφικτύων διὰ τοῦ πυλαγόρου, κεκληρονομηκὼς οὐ πατρῴας τάξεως, ἀλλὰ τῆς Φωκέων, οἳ μισοῦνται παρὰ Θηβαίων, ὅτι τὴν πόλιν ἡμῶν οἱ μὲν ἠξίουν κατασκάπτειν, οἱ δὲ οὐκ ἐπέτρεπον. Φίλιππος ἀμφικτύων, καὶ βαδίζει τύραννος ἐκ Πέλλης ἱερομνήμων.

123. Λιβανίου, *Ἀπολογία Δημοσθένους* 316.
Ἐνταῦθα δὲ ἤδη ἐν Πέλλῃ μὲν ἦν, ὁ δὲ φόβος πολὺς ἔτι προσῆν, καὶ πάντα ἔπασχον ταῖς ἐλπίσιν ὅσα ὑπὸ τῆς τῶν ἐχόντων ἐξουσίας ἠδυνάμην παθεῖν.

124. Λιβανίου, *Ἀπολογία Δημοσθένους* 318.
Ἥκεις εἰς Μακεδονίαν, εἰς Πέλλαν, ὅθεν οὐδὲ ἀνδράποδον <σπουδαῖον>.

125. Λιβανίου, *Ψόγος Φιλίππου* 2.
Τύραννος μὲν γὰρ τῶν ἐν ἀνθρώποις κακῶν τὸ χείριστον, τῶν δὲ τυράννων ἁπάντων Φίλιππος. Τί γὰρ ἄν τις εἴποι περὶ αὐτοῦ καλόν; Τὴν πατρίδα; Βάρβαρος ἦν. Τὸ τῆς πόλεως μέγεθος; Καὶ τί φαυλότερον τῆς Πέλλης;

126. Λιβανίου, *Ἐπιστολή* 1042.4.
Χρύσης γὰρ ἀνθρώπου μὲν οὐδενός, ἐκείνης δὲ ἠττήθη, δι' ἣν καὶ τὸ τῶν Ἑλλήνων γένος τοῦ παιδὸς Ἀμύντου τοῦ τραφέντος ἐν Πέλλῃ.

127. Ἀφθονίου, *Προγυμνάσματα* 29.2-4.
Μακεδόνες γὰρ τῶν βαρβάρων οἱ χείριστοι, Πέλλη δὲ τῆς Μακεδόνων γῆς τὸ φαυλότατον, ἐξ ἧς οὐδὲ δουλούμενοι χαίρουσιν ἄνθρωποι.

128. Κλαυδιανοῦ, *De quarto consulatu Honorii Augusti* 8.374-377.
Fertur Pellaeus, Eoum
qui domuit Porum, cum prospera saepe Philippi
audiret, laetos inter flevisse sodales
nil sibi vincendum patris virtute relinqui.

129. Κλαυδιανοῦ, *De bello Gildonico* 15.268-269.
Tenuit sic Graia Philippus
oppida; Pellaeo libertas concidit auro.

130. Κλαυδιανοῦ, *Panegyricus dictus Manlio Theodoro consuli* 17.28-29.
Inde tibi Macetum tellus et credita Pellae
moenia, quae famulus quondam ditavit Hydaspes.

131. Κλαυδιανοῦ, *Carmina minora* XXII 16.
Pellaeum iuvenem regum flexere ruinae.

132. Πρόκλου, *Εἰς τὰς Πολιτείας Πλάτωνος ὑπόμνημα* 2.116.
Ταύτην δ' οὖν ἕκτῳ μηνὶ μετὰ τὸν θάνατον ἀναβιῶναι καί τινι νεανίσκῳ Μαχάτῃ, παρὰ τὸν Δαμόστρατον ἀφικομένῳ ἐκ Πέλλης τῆς πατρίδος, λάθρᾳ συνεῖναι διὰ τὸν πρὸς αὐτὸν ἔρωτα πολλὰς ἐφεξῆς νύκτας καὶ φωραθεῖσαν αὖθις ἀποθανεῖν, προειποῦσαν κατὰ βούλησιν τῶν ὑποχθονίων δαιμόνων αὐτῇ ταῦτα πεπρᾶχθαι, καὶ ὁρᾶσθαι πᾶσι νεκρὰν ἐν τῇ πατρῴᾳ προκειμένην οἰκίᾳ.

133. Συριανοῦ, Σχόλια στὸ *Περὶ Στάσεων* τοῦ Ἑρμογένους 28.
Οὐ γὰρ δὴ τῷ μὲν ἐν Πέλλῃ τραφέντι χωρίῳ ἀδόξῳ τότε γε ὄντι καὶ μικρῷ τοσαύτην μεγαλοψυχίαν προσῆκεν ἐγγενέσθαι ὥστε τῆς τῶν Ἑλλήνων ἀρχῆς ἐπιθυμῆσαι καὶ τοῦτο εἰς τὸν νοῦν ἐμβαλέσθαι (...).

134. Ἰορδάνου, *Getica* 288.
Qui dum videret vallo muniri Thessalonicam nec se eorum conatibus posse resistere, missa legatione ad Thiudimer regem muneribusque oblatis ab excidione eum urbis retorquet initoque foedere Romanus ductor cum Gothis loca eis iam sponte, quae incolerent, tradidit, id est Cerru, Pellas, Europa, Mediana, Petina, Bereu et alia quae Sium vocatur.

135. Ἱεροκλέους, *Συνέκδημος* 638.
Ἰλλυρικόν· Μακεδονία α΄· Θεσσαλονίκη, Πέλλη, Εὔρωπος, Δῖον, Βέροια, Ἐορδαία, Ἔδεσσα, Κέλλαι, Ἀλμωπία, Λάρισσα (...).

136. Ἡσύχιος, λ. *πέλλα*, *πέλλαι* καὶ *Πελλαῖον*.
πέλλα· λίθος.
πέλλαι· ἀγγεῖά τινα, εἰς ἃ ἀμέλγεται τὸ γάλα...
Πελλαῖον· [φαιόν. καὶ] Μακεδονικόν.

137. Προκοπίου, *Περὶ κτισμάτων* 4.4.3.110-114
Ἐπὶ Μακεδονίας: Κάνδιδα· Κολοβῶνα· Βασιλικὰ Ἀμύντου· Μελίχιζα (...)

138. Ἰωάννης Μαλάλας 7.17.7.
Ὃς καὶ κουρευσάμενος τὴν ἰδίαν κόμην τῆς κεφαλῆς αὐτοῦ καὶ ἀλλάξας αὐτοῦ τὰ βασιλικὰ ἱμάτια ἔφυγε διὰ τοῦ Πηλουσίου ὁ αὐτὸς Νεκταναβώ, καὶ εἰς Πέλλην, πόλιν τῆς Μακεδονίας, διέτριβεν.

139. Στεφάνου Βυζαντίου, *Ἐθνικά*, λ. *Ἀπάμεια* καὶ *Πέλλα*[14].

14. Τὸ τοπωνύμιο καὶ τὸ ἐθνικὸ τῆς Πέλλας χρησιμοποιοῦνται ὡς γραμματικὸ παράδειγμα καὶ στὰ λήμματα *Ἄρρα* καὶ *Βάλλα*.

Ἀπάμεια· Συρίας πόλις, ἀπὸ Ἀπάμας τῆς Σελεύκου μητρός. Ἐκλήθη καὶ Χερρόνησος ἀπὸ τῆς περιοχῆς τῶν ὑδάτων, καὶ Πέλλα ἀπὸ τῆς ἐν Μακεδονίᾳ (...). Τὰ ἐθνικὰ Χερρονησίτης καὶ Πελλαῖος καὶ Ἀπαμεύς.

Πέλλα· πόλις Μακεδονίας, Θεσσαλίας, Ἀχαΐας, κοίλης Συρίας, ἡ Βοῦτις λεγομένη. Ἡ δὲ Μακεδονίας Βούνομος τὸ πρότερον ἐκαλεῖτο καὶ Βουνόμεια (...) ἐκλήθη δὲ ἀπὸ Πέλλα τοῦ κτίσαντος. Ὁ πολίτης Πελλαῖος. Τὸ ἐθνικὸν Πελληνοί, ὡς εἴπομεν τοῦ Κάρρα καὶ Ἔδεσσα ποτὲ μὲν Ἐδεσσαίους ποτὲ δὲ Ἐδεσσηνούς. Ἔστι καὶ Πέλλα ὄρος Αἰθιοπίας.

140. ***Oracula Sibyllina*** 11.219-221.
(...)
ἀλλ' ὅταν Αἰγύπτου μεγάλην πόλιν ὀλβοδότειραν
στηρίξει Πελλαῖος Ἄρης, αὐτῷ δ' ὀνομήνῃ,
μοῖραν καὶ θάνατον προδοθεὶς δολίως ὑφ' ἑταίρων.

141. ***Παλατινὴ Ἀνθολογία*** 7.44.
Εἰ καὶ δακρυόεις, Εὐριπίδη, εἶλέ σε πότμος,
καί σε λυκορραῖσται δεῖπνον ἔθεντο κύνες,
τὸν σκηνῇ μελίγηρυν ἀηδόνα, κόσμον Ἀθηνῶν,
τὸν σοφίῃ Μουσέων μιξάμενον χάριτα,
ἀλλ' ἔμολες Πελλαῖον ὑπ' ἠρίον, ὡς ἂν ὁ λάτρις
Πιερίδων ναίῃς ἀγχόθι Πιερίδων.

142. ***Παλατινὴ Ἀνθολογία*** 7.139.
Πέλλα δ' Ἀλεξάνδρῳ συναπώλετο. Πατρίδες ἆρα
ἀνδράσιν, οὐ πάτραις ἄνδρες ἀγαλλόμεθα.

143. ***Παλατινὴ Ἀνθολογία*** 16.121.
Αὐτὸν Ἀλέξανδρον τεκμαίρεο· ὧδε τὰ κείνου
ὄμματα καὶ ζωὸν θάρσος ὁ χαλκὸς ἔχει,
ὃς μόνος, ἣν ἐφορῶσιν ἀπ' αἰθέρος αἱ Διὸς αὐγαί,
πᾶσαν Πελλαίῳ γῆν ὑπέταξε θρόνῳ.

144. Σουίδας.
Εὐριπίδης· (...). Ἔτη δὲ βιῶναι αὐτὸν οε΄, καὶ τὰ ὀστᾶ αὐτοῦ ἐν Πέλλῃ μετακομίσαι τὸν βασιλέα (...).
(...)
Ἡρόδοτος· (...) Τινὲς δὲ ἐν Πέλλαις αὐτὸν τελευτῆσαί φασιν (...)[15].
(...)
Μαρσύας· Περιάνδρου, Πελλαῖος, ἱστορικός. Οὗτος δὲ ἦν πρότερον γραμματοδιδάσκαλος,

15. Ὁ ἀλλοῦ ἀμάρτυρος πληθυντικὸς *Πέλλαι* ἴσως παρέχει ἐπιβεβαίωση τοῦ χωρίου τοῦ Ἑκαταίου τὸ ὁποῖο διακρίνει τὴν Πέλλα ἀπὸ τὸν Φάκο (μαρτ. ΠΕΛ 1· βλ. σχετικὰ στὴν Εἰσαγωγή).

καὶ ἀδελφὸς Ἀντιγόνου τοῦ μετὰ ταῦτα βασιλεύσαντος, σύντροφος δὲ Ἀλεξάνδρου τοῦ βασιλέως. Ἔγραψε Μακεδονικὰ ἐν βιβλίοις δέκα· ἤρξατο δὲ ἀπὸ τοῦ πρώτου βασιλεύσαντος Μακεδόνων, καὶ μέχρι τῆς Ἀλεξάνδρου τοῦ Φιλίππου ἐπὶ τὴν Συρίαν ἐφόδου, μετὰ τὴν Ἀλεξανδρείας κτίσιν· Ἀττικὰ ἐν βιβλίοις ιβ΄· καὶ αὐτοῦ Ἀλεξάνδρου ἀγωγήν.
(...)

145. Σχόλια στὸν Αἴλιο Ἀριστείδη 183.13.
Πέλλῃ: ὅθεν ὁ Φίλιππος.

146. Σχόλια στὸν Εὐριπίδη 5.
Ἔτη δὲ βεβιωκέναι φασὶν αὐτὸν οε΄, καὶ τὰ ὀστᾶ αὐτοῦ ἐν Πέλλῃ μετακομίσαι τὸν βασιλέα.

147. Σχόλια στὸν Θεόκριτο 1.23-26.
Πέλλας: ξύλινα ἀγγεῖα ἀπὸ τοῦ πεπελεκῆσθαι. Πελίωμα δὲ τὸ μέλαν. Λέγομεν γὰρ πέλλην βοῦν τὴν τοιοῦτο χρῶμα ἔχουσαν· καὶ Πέλλη πόλις Μακεδονίας, ὅτι βοῦς αὐτὴν εὗρε πέλλη τὸ χρῶμα· καὶ Πελίας ὄνομα.

148. Σχόλια στὸν Λουκιανό 24.11.
Ὄλυμπον: τὸν Μακεδονικὸν Ὄλυμπον λέγει, ὃς ἐπ᾽ ἀριστερᾷ τοῦ Πηνειοῦ καὶ τῶν Θεσσαλικῶν ἐστι Τεμπῶν, ὄρος ὑψηλὸν καὶ μέγα καὶ μέχρι Πέλλης παρατεῖνον.

149. ***Μέγα Ετυμολογικόν***, λ. *Πέλεια*.
Πέλεια: κίρκος ἔστιν εἶδος ἱέρακος· εἰσὶ δὲ γένη ἱεράκων ὀκτὼ, ὥς φησι Καλλίμαχος ἐν τοῖς περὶ ὀρνέων. Πέλεια δὲ, περιστερᾶς εἶδος, οἷον φάσσαι. Ἐτυμολογεῖται δὲ παρὰ τὸ πέλαν, ὃ σημαίνει τὸ μέλαν. Καὶ ὥσπερ παρὰ τὸ μαῖα γίνεται μαιὰς μαιάδος, οὕτως καὶ παρὰ τὸ πέλεια, πελειὰς πελειάδος. Καὶ πελίωμα, τὸ μέλαν· καὶ γὰρ πέλλην λέγουσι βοῦν, τὸν τοιοῦτο χρῶμα ἔχοντα· καὶ Πέλλη, πόλις Μακεδονίας, ὅτι βοῦς αὐτὴν εὗρε, πέλλη τὸ χρῶμα· καὶ ὁ Πελίας, ὄνομα.

150. Ὁδοιπορικά
Πευτιγγεριανὸς Πίνακας
Thessalonica XXVII Pella XLV Edessa XLV Cellis

Ὁδοιπορικὸ τοῦ Ἀντωνίνου 319.2-4 – 320.1.
Cellis XXVIII Edessa XXVIII Pella XXVII Thessalonica

Ὁδοιπορικὸ τοῦ Ἀντωνίνου 330.4-7.
Cellis XXXIII Edessa XXX Diocletianopolis XXIX Thessalonica

Ἱεροσολυμιτικὸ Ὁδοιπορικό 605.4 – 606.6.
civitas Thessalonica X mutatio Ad Decimum X mutatio Gephira X civitas Pelli, unde fuit Alexander Magnus Macedo XV mutatio Scurio XV civitas Edissa XII mutatio Ad duodecimum XVI mansio Cellis

Ραβεννάτης Γεωγράφος 194.14-18 καὶ 195.1-4.

[194.14] Thessalonici
Pella
Beroea
Acerdos
Arulos
[195.1] Bata
Anamon
Imera
Diume

Ραβεννάτης Γεωγράφος 373.16 καὶ 374.1-6.

[373.16] Thessalonici
[374.1] Pella
Beroea
Acerdos
Bada
Anamon
Dium

Γουίδων 536.2-17.

[536.2] Thessalonici (...).
[536.8] Pella, solium regni quondam Macedonici, in qua Alexander Magnus exortus est,
Boroea
Archelos
Arulos
Bada
Anamon
Imera
Dium

ΙΙ. Ἐπιγραφικὲς μαρτυρίες ἐκτὸς Πέλλας[16]

α΄. Προξενικὸ ψήφισμα γιὰ τὸν Πελλαῖο (βλ. μαρτυρία ἀρ. 83) Ἀθήναιο, πατέρα τοῦ τριηράρχου τοῦ Ἀλεξάνδρου Δημονίκου, Λεῦκτρα 365 π.Χ. (*SEG* 34 [1984] 355).

16. Ὡς μία ἀπὸ τὶς παλαιότερες ἐπιγραφικὲς μαρτυρίες Πελλαίων ἐκτὸς Μακεδονίας θεωρεῖτο μέχρι πρότινος ἐπιγραφὴ τῆς Αἴγινας (*IG* IV 103), στὴν ὁποία ὅμως δὲν ἀναγράφεται στὴν πραγματικότητα τὸ ἐθνικὸ *Πελλαῖος*, ἀλλὰ τὸ ἀνθρωπωνύμιο *Ἀπελλαῖος* (*IG* IV^2 2, 886, ἑλληνιστικῶν χρόνων).

[Θεός· τύχα· . .$^{\pm 8}$. . ἄρ]-
[χοντος, ἔδοξε τοῖ δάμοι]
[πρόξενον εἶμεν Βοιω]-
[τῶν κὴ εὐεργέταν] Ἀ̣θ[άν]-
[ηο]ν Δαμονί[κο]υ Μακεδ-
ό̣να καὶ εἶμεν αὐτοῖ γᾶς
καὶ ϝοικίας ἔππασιν κὴ
ἐνώναν κὴ ἀσυλίαν κ-
ὴ πολέμω κὴ ἰράνας ἰώ-
σας κὴ κατὰ γᾶν κὴ κὰτ θ-
άλα̣τ̣[α]ν κὴ αὐτοῖ κ[ὴ] γέ-
νι, Βο[ιωταρ]χιόντων [Πελο]-
πίδα[ο, Τι]μ̣ολάῳ, Δαμ̣[οφίλ]ῳ,
[Π]άτρωυ̣[ος], Ἀσωποτέλ[εο]ς,
Ἠσχύλω, Παντακλεῖος.

β΄. Προξενικὸ ψήφισμα, Δελφοί, 346/5 π.Χ. (*Syll.*^{3} 267 Β).

[Θεός. Τύχα ἀγαθά.]
[. . . . . .$^{\pm 11}$. . . . .]ε̣νε̣-
[. . . . . .$^{\pm 10}$. . . . .] Μακε-
[δόσι ἐκ] Π[έλ]λης αὐ-
[τ]οῖ[ς καὶ] ἐκγόνοις
Δελφοὶ ἔδωκαν πρ-
οξενίαν, προμαντ-
είαν, ἀτέλειαν, πρ-
[ο]εδρίαν, ἀ[σ]υλίαν
[ἐν] Δελφοῖ[ς], προδ[ι]-
[κί]αν ποτὶ Δ[ελφούς].
[Ἄρχ]οντος [Δαμοξέ]-
[νου (;), β]ου[λευόντων]
[Ἀριστοκράτεος, Α]-
[ἰσχριώνδα, . .^{5}. . .]
[. .^{5}. . ., Πλείστωνος].

γ΄. Τιμητικὸ ψήφισμα, Ἀθήνα, περ. 337/6 π.Χ. (*IG* II^{3} 1, 2, 319· βλ. στὸ ἐκεῖ ὑπόμνημα γιὰ τὶς πιθανὲς συμπληρώσεις στὸν στ. 2, μεταξὺ καὶ τῶν ὁποίων καὶ ἡ συμπλήρωση Πελλαίου).

[θ] ε [ο ί]·
vac. Ἀλκίμα[χ . . . . .$^{\pm 12}$. . . . .]
[ἐ]πὶ Φρυνί[χου ἄρχοντος ἐπὶ τῆς Ἀ]-
[κ]αμαντίδ[ος ἕκτης πρυτανείας, ἧ]-
[ι] Χαιρέσ[τρατος Ἀμεινίου Ἀχαρν]-
[εὺ]ς ἐγρα[μμάτευεν· Γαμηλιῶνος .]-
[. . . .]ηι [. . . . . .$^{\pm 20}$. . . . . .]
[- - - - - - - - - - - - - - - - - - - -]

δ΄. Κατάλογος θεωροδόκων, Νεμέα, 331/30-313 π.Χ., τὸ μακεδονικὸ τμῆμα τοῦ καταλόγου μεταξὺ 321 καὶ 316 π.Χ. (*SEG* 36 [1986] 331 στήλη Β, στ. 16-24)[17].

(...)
vacat
Ἐμ Μακε(δ)ονίαι:
ἐν Ἀμφιπόλι
Πέρσας Νικολάου·
ἐν Λητῆι
Μένανδρος Λυσάνδρου·
ἐξ Ἀλάντης

17. Γιὰ τὴν ταύτιση τοῦ Ἀριστόνου μὲ τὸν Πελλαῖο σωματοφύλακα τοῦ Ἀλεξάνδρου, βλ. στὴν Εἰσαγωγή.

Ἀφθόνητος Πυθοδώρου.
vacat
Ἀριστόνους
(...)

ε΄. Τιμητικὸ ἐπίγραμμα καὶ προξενικὸ ψήφισμα, Δελφοί, περ. 321 π.Χ. (*SEG* 18 [1962] 222).

A
[Σὸν κατά, ἄναξ], ἱερὸν τέμ[εν]ος, κλυτότοξε, συνωρὶς
[ἔστεφεν Ἄρχ]ωνος Δελφίδι κρᾶτα δάφναι,
[ὃς Βαβυλῶ]να ἱερὰν κραῖνεν χθόνα, πολλὰ δὲ δίωι
[σύμ ποτε] Ἀλεξάνδρωι στᾶσε τρόπαια δορός.
[Τοὔνε]κά οἱ μορφὰς γονέων κτίσεν ἠδὲ συναίμων
[τά]σδε, κλέος δ' ἀρετᾶς Πέλλα σύνοιδε πατρίς.

B
[Ὦ] μάκαρ εὐκλείας Ἄρχων στέ[φανον δὶς ἐδέξω(;)]
Ἴσθμια νικήσας Πύθιά τε ἱππ[οσύναι]·
ζηλοῦται δὲ πατὴρ Κλεῖνος κ[αὶ πότνια μήτηρ(;)]
Πέλλα τε ἀείμναστον πατρὶς ἔ[χουσα κλέος].

C
Δελφοὶ ἔδωκαν Συνέσει, Ἄρχων[ι καὶ τοῖς τούτου]
ἀδελφοῖς Κλείνου Μακεδόσιν ἐ[κ Πέλλης αὐτο]-
ῖς καὶ ἐκγόνοις προξενίαν, προμ[αντείαν, προεδρ]-
ίαν, ἀτέλειαν, ἀσυλίαν, προδικί[αν, ἐπιτιμάν],
καὶ τἄλλα ὅσα καὶ τοῖς ἄλλοις προ[ξένοις, ἄρχοντος]
[Δαμο]κράτο[υς], βου[λ]ευ[όν]των Μεγ[ακλέους, - - -].

D
Ἰσοκράτης Κλεί[νου].
E
[Σύν]εσις Κλείνο[υ γυνή(;)].

στ΄. Ἐπιτύμβια, Κασσάνδρεια, 4ος αἰ. π.Χ. (ἀδημοσίευτη, Τατάκη, *Macedonians* 150, ἀρ. 19).
[Ἀ]ριστοκράτεια
Δαμασίου,
Πελλαία.
Εὔφημος
Δη[μη]τρίου,
Πελλαῖος.

ζ΄. Ἐπίδοση μὲ κατάλογο δωρητῶν, Θήβα, περ. 315-285 π.Χ. (K. Buraselis, *ZPE* 188 [2014] 159-170· πρβλ. D. Knoepfler, *BullEpigr* 2014, 204 καὶ Γ. Καλλιόντζη, *Γραμματεῖον* 3 [2014] 5), στ. II).

ΧΡΟΥ̣ΣΙ̣[--]·
Μένων Σαβα̣τ̣[--]
δύο τάλαντα ἀττ̣ι̣[κά]·
Θεμίσων Θεμισ̣τ̣[αγόρω (;)]
Σολεὺς ἀπὸ Κύπρω τ̣[άλαν]-
τον ἀττικόν·
Ἀσκλαπιάδας Ἀπολλοδώ̣[ρω]
Κιτιεὺς τριάκοντα μνᾶς ἀττ̣[ικάς]·
Ἀρχίας Ϝαναξιδότω Μ̣[ακεδών (;)][18]
ἑκατὸν μνᾶς ἀττικ[άς]·
Ἀντίπατρος Ἀπολλοφά[νους --]-
νιος τάλαντον ἀττι̣κ̣[όν]·
Ἀριστόβωλος Εὐβωλίδ[α --]-
υς ἠγινήω πέτταρα τ̣[άλαντα]·
Βούβαλος Λεύκωνος [-- ἠγι]-
νήω πέτταρα τάλαν[τα --]·
Π̣αυσανίαο̣ Ἀθανῆο̣[ς --]·
Ἀρ̣ιστόμαχος Π̣λειο̣[τάρχου (;) --]
[. . .] Ἀ̣νδ̣ρίσκω Πελλ̣[αῖος (;) --][19].

η΄. Ἐπιτύμβια, Δημητριάς, 300-275 π.Χ. (Ἀρβανιτόπουλου, *Θεσσαλικὰ Μνημεῖα* 16).
Δημὼ Ξενοφάντου
Πελλαία.

θ΄. Προξενικὸ ψήφισμα, Δελφοί, 265-260 π.Χ. (;) (*FD* III 3, 207).
Δελφοὶ ἔδωκαν Σοφοκλεῖ Ἀριστοβούλου Φωκεῖ ἐν Κασ[σ]ανδρείαι οἰκοῦντι, Φίλωνι [. . .$^{\pm 6}$. . .]
Πελλαίωι,
Ἀλεξάνδρωι Λ[. . .]ου Ἐδ(ε)σσαίωι, Ἀντιγόνωι Ἀσάνδρου Ἰχναίωι, Πολιτ̣άρχωι [. . .$^{\pm 6}$. . .] Μελιβοιεῖ,
Ματρικέτηι Παντέα Περινθίωι, Μελεσικράτει Ἀριστομένει ἐν Ἡραίωι τείχει, Διοδώρωι Μίθρεος
Κυζικηνῶι,
Ἱέρωνι Ἀπολλοδώρου Καλλατιανῶι, Σωκρίτωι Κράθωνος Χερσονασίτηι, Διονυσίωι Διονυσίου
Βορυσθενίτηι,
Νικίαι Ἡρακλείδου Βουσπορίτηι, Γλαύκωνι Σίμου Κυθνίωι, Ἱερο[κλ]εῖ, Ἀρτεμιδώρωι
Βαργυλιήταις, Μάχονι
Σαμοθρᾳικι αὐτοῖς καὶ ἐκγόνοις προξενίαν, προμαντείαν, προδικίαν, προεδρίαν, ἀσυλίαν,

18. Γιὰ τὸν Ἀρχία, βλ. μαρτ. ΠΕΛ 84, ἀνωτέρω, καθὼς καὶ στὰ σχόλια τῆς ἐπιγραφῆς ἀρ. **434**, κατωτέρω. Ὁ Κ. Μπουραζέλης συμπληρώνει *Μ[αριεύς]*, θεωρώντας ὅτι ἡ σειρὰ ἀναγραφῆς εἶναι αὐστηρὰ γεωγραφική, μὲ τοὺς Μακεδόνες νὰ ἀρχίζουν στὸν στ. 13, καὶ ὅτι ἡ συμπλήρωση *Μ[ακεδὼν]* στὸν στ. 9 θὰ ἀπαιτοῦσε καὶ τὴν προσθήκη ἐθνικοῦ πόλεως, γιὰ τὸ ὁποῖο δὲν ὑπάρχει χῶρος· βλ. ὅμως τὶς παρατηρήσεις τοῦ Knoepfler, καθὼς καὶ τὸ γεγονὸς ὅτι οἱ τιμώμενοι στὰ ἐρετριακὰ ψηφίσματα Knoepfler, *Eretria* XI ἀρ. 5 (*IG* XII, 9, 205+226) καὶ ἀρ. XI (*IG* XII, 9, 206) (πιθανώτατα συγγενεῖς τοῦ Ἀρχία· βλ. ἀρ. **434**, κατωτέρω) ἀναγράφονται ἁπλῶς ὡς Μακεδόνες.

19. Ὁ πατέρας τοῦ Ἀνδρίσκου ἴσως ταυτίζεται μὲ τὸν Παυσανία τοῦ Ἀνδρίσκου τῆς ἐπιγραφῆς ἀρ. **529**.

θεαροδοκίαν,
ἀτέλειαν πάντων καὶ τἆλλα ὅσα καὶ τοῖς ἄλλοις προξένοις καὶ εὐεργέταις. Ἄρχοντος Χαριξένου,
βουλευόντων Χάρητ[ο]ς, [Τι]μοκράτεος, Καλλιφάνεος.

ι΄. Ἀγωνιστικὸς κατάλογος, Δελφοί, 260/259 π.Χ (*FD* III 1, 477, στ. 1-5 καὶ 19-22).
[Ἐπὶ Πειθαγόρα ἄρχοντος ἐν Δελφοῖς, ἱερομνημονούντων Αἰτωλῶ]ν Τελέσωνος, Βίττου,
Λεοντο[μένεο]ς,
[Βούκριος, Δρωπάκου, Ὁμάρου, Χηρία· Δελφῶν Λύσωνος, Ζακυνθίο]υ· Φωκέων Νικάρχου,
Τιμασικρά[τους]·
[Βοιωτῶν Οἰνάδου, Ξενοφάνους· γραμματεύοντος Μελανθίο]υ Α[ἰ]τωλοῦ, ἐπὶ ἱερέως δὲ
Πυθοκλέ[ος]
[τοῦ Ἀριστάρχου Ἑρμιονέος ἐκ τῶν τεχνιτῶν, τὸ κοινὸν τῶν τε]χνιτῶν (ἐπ)έ(δ)ωκε τῶι θεῶι
καὶ τ[οῖς]
[Ἀμφικτύοσιν εἰς τὰ Σωτήρια τὸν ἀγῶνα παντελῆ· ἠγωνίσα]ντο δὲ οἵδε — ῥαψωιδοί· Ἀρισταγό-
[ρας ----------]ς Σωκράτους Βοιώτιος·
(...)
[--- τραγω(;)]ιδοί· Εὐκλῆς Διονυσίου Ἀργεῖος·
[--- Λυκ]είων Λυκείωνος Βοιώτιος·
[---] [. . . .]αῖος Λευκ[. .]ου Πελλαῖος·
[---] [. . . .]ς — Ἀγαθοφάνης Ἀγαθοκλέους Βοιώτιος
(...)

ια΄. Τιμητική, Θέρμος, περ. 262-236 π.Χ. (*IG* IX 1^2 1, 17, στ. 24-25 καὶ 69-72).
(...)
Π̣ο̣[σ]ε̣ι̣δ̣ί̣π̣πωι τῶι ἐπιγραμματοποιῶι Πελλαίωι.
_ Ἔνγυ̣ο̣ς Κ̣(λ)ε̣οκράτης Ἡρακλεώτας.
(...)
Ἀλκιμένει Ἐπικράτ̣ο̣υ̣ς Πελλαίωι, Ἀμ̣ύ̣τ̣α̣ι Α̣[---]
_ Πελλαίωι. Ἔνγυος ἀμφοτέρων Τριχᾶς Εἰοιτᾴ̣υ̣.
Ἀγακλεῖ Σιμμίχου Μακεδόνι ἐκ̣ Πέλλης. Ἔνγυ̣ο̣ς
_ Δαμοίτας Ναυπ̣άκτιος (...).

ιβ΄. Κατάλογος θεωροδόκων Ἀπόλλωνος, Δελφοί, 230-220 π.Χ. (A. Plassart, *BCH* 45 [1921] 17 III, στ. 57-65· στὴν παροῦσα ἔκδοση λαμβάνονται ὑπ' ὄψιν νεώτερες ἀναγνώσεις τοῦ J. Oulhen, *Les théarodoques de Delphes*, ἀνέκδοτη διατριβή, Ι΄ Πανεπιστήμιο Παρισίων 1992).
(...)
ἐν Βεροίαι Ἀντάνωρ Νεοπτολέμου,
Μένανδρος, Ἀπελλᾶς Φιλώτα·
ἐν Μέζαι Νικωνίδας, Νικάνωρ Μνασιγένεος·
ἐν Ἐδέσσαι Μοσχίων Τριακαδίωνος·
ἐν Πέλλαι Ἀπολλωνίδης, Δίφιλος, Χάρης·
ἐν Ὠρωπῶι Παράμονος·

ἐν Ἴχναις Δίης Ἀλκέτου·
ἐν Ἀλλ[α]ντείωι Ἀνδρόνικος, Δίκαιος
Χιωνίδου·
(...)

ιγ΄. Προξενικὸ ψήφισμα, Ὠρωπός, 3ος αἰ. π.Χ. (*Ἐπιγραφὲς Ὠρωποῦ* 230).

[---------- εἶπεν· ἐπειδὴ] Ἰσοκράτη-
[ς ---------- Μακεδὼν] ἐκ Πέλλη-
[ς εὔνους ὢν διατελεῖ καὶ χ]ρήσιμος
[τῆι τε πόλει Ὠρωπίων κοιν]ῆι [καὶ]
[----------]

ιδ΄. Ἐπιτύμβια, Δημητριάς, 3ος αἰ. π.Χ. (ἀδημοσίευτη, Μουσεῖο Βόλου 490· Τατάκη, *Macedonians* 159, ἀρ. 79).

Πυθίων Πέλοπος Πελλαῖος.

ιε΄. Ἐπιτύμβια, Δημητριάς, 3ος - ἀρχὲς 2ου αἰ. π.Χ. (Ἀ. Ἀρβανιτόπουλου, *Πολέμων* 4 [1949-51] 3, ἀρ. 238).

Ἡρακλέων
Μοσχίωνος
Πελλαῖος.

ιστ΄. Ἐπιτύμβια, Δημητριάς, 3ος - ἀρχὲς 2ου αἰ. π.Χ. (*IG* IX 2, 369).

Κλεοπάτρα
Στησιμένους
Πελλαία.

ιζ΄. Προξενικὸ ψήφισμα, Ὠρωπός, περ. 240-180 π.Χ. (*Ἐπιγραφὲς Ὠρωποῦ* 130).

Ἄρχοντος ἐν κοινῶι Δί[ω]νος, ἱερέως τοῦ Ἀμφιερ[ά]ου Ἀθηνοδώρου,
[μη]νὸ[ς Ὁ]μ[ολωΐου], *νν* Νίκιππος Γοργίωνος εἶπεν· ἐπειδὴ Ἡράκλειτο[ς]
εὔνους ὢν διατελεῖ τεῖ πόλει Ὠρωπίων, δεδόχθαι τεῖ βουλεῖ καὶ τῶ[ι]
δήμωι· Ἡράκλειτον Ἀρτεμιδώρου Μακεδόνα ἐκ Πέλλης πρόξενον ε[ἶ]-
ναι τῆς πόλεως Ὠρωπίων αὐτὸν καὶ ἐ[κ]γόνους καὶ εἶναι αὐτοῖς γῆς
καὶ οἰκίας ἔνκτησιν καὶ ἰσοτέλειαν καὶ ἀσυλίαν καὶ ἀσφάλειαν καὶ κα-
τὰ γῆν καὶ κατὰ θάλατταν καὶ πολέμου καὶ εἰρήνης καὶ τἆλλα πάντ[α]
[κ]αθάπερ τοῖς ἄλλοις προξένοις καὶ εὐεργέταις γέγραπται.

ιη΄. Κατάλογος προξένων, Δελφοί, 190/89 π.Χ. (*Syll.*³ 585, στ. 101-103).

(...)
Ἄρχοντος Καλλικράτεος, βουλευόντων τὰν
δευτέραν ἐξάμηνον Γλαύκου, Δεξικράτε-
ος, Καλλία· Ὀνάσιμος Ἐπικρατίδου Πελλαῖος.
(...)

ιθ΄. Ἐπιτύμβια, Ἀμφίπολις, 2ος αἰ. π.Χ. (*SEG* 34 [1984] 607).

Παρμενίων
Πελλαῖος.

κ΄. Συγκλητικὸ δόγμα γιὰ τοὺς Διονυσιακοὺς τεχνῖτες, Δελφοί, 112/111 π.Χ. (Aneziri, *Vereine* C2 [*FD* III 2, 70], Α στ. 34-38 καὶ Β στ. 1-7).

Α

(...) καί, ἀπ[οστειλ]άν[τω]ν ἡμῶν πρεσβ[ευτὰς π]ερ[ὶ ὧν ὁ στρα]-
τηγὸς ἐκέλευσεν τοὺς ἀπολογιουμένους αὐτῶι, Διονύσιον, Ἀνδρόνικον, Φιλοκράτην,
Δ[ράκ]οντα,
τούσδε περὶ ὧν μὲν ε(ἶ)χον τὰς ἐντολὰς μὴ ἐπιτελέσαι, καταφρονήσαντ(α)ς δὲ τοῦ τε
τῆς συγκλήτου
δόγματος καὶ τοῦ στρατηγοῦ καὶ τῆς συνόδου, ἐλθόντας εἰς Πέλλαν συνθήκας
ποιήσασθαι πρὸς τοὺς
ἐν Ἀθήναις φ[άσκ]οντας εἶναι τεχνίτας, ἐπιτίμιον ἐπιγράψαντ(α)ς κατὰ τῆς συνόδου
τάλαντα δέκα.

(...)

Β

[---------- ἀργ]υρίο[υ ἀττικο]ῦ τάλαντα δέκα, καὶ ὑπόδικος ἔστω κατ[ὰ]
[τοὺς νόμους ---------- ὁμο]λογίαν ἔθεντο τήνδε κοινῇ σφραγισάμεν[οι]
[---------- τῶι] ἀνθυπάτωι Γναίωι Κορνηλίωι Σισέννai [-----]
ΠΕ[----------]σους μὲν ἐν Δελφοῖς καὶ ἐν Ἀθήναις ἐ[ν τ]ῶι τοῦ Διον[ύ]-
σου τ[εμένει -------, το]ὺς δὲ ἐν [Ἰσθμῶι καὶ Ν]εμέαι τεχνίτας ἐν Ἄργει [μὲν ἐν τ]ῶι
Ἀσκληπιείωι
ἐν δὲ [Θήβ]αις ἐν τῇ Καδμείαι. Μάρ[τυ]ρες· Ἀριστίων Πυθ[-------, --]άνωρ Ἀναξιδότο[υ]
Πελλ[αῖος], Σιμίας Ἀγαθοκλέους Πελλαῖος.

κα΄. Ἐπιτύμβια, Δημητριάς, ἑλληνιστικὴ ἐποχή (ἀδημοσίευτη, Μουσεῖο Βόλου 438· βλ. Tataki, *Macedonians* 153, ἀρ. 30).

Γυμνάσιον Δημητρίου Πελλαία.

κβ΄. Ἐπιτύμβια, Δημητριάς, ἑλληνιστικὴ ἐποχή (ἀδημοσίευτη, Μουσεῖο Βόλου 499· Tataki, *Macedonians* 161, ἀρ. 94).

[---]δωρος [Πε]λλαῖος.

κγ΄. Ἐπιτύμβια, Λευκάς, ἑλληνιστικὴ ἐποχή (;) (*IG* IX 1 592).

Μνησίκλεια
Πελλαία χαῖρε,
χρηστὴ γυνή,
ὦ παριόντες.

κδ΄. Ἐπιτύμβια, Ἀθήνα, ὕστεροι ἑλληνιστικοί χρόνοι (;) (*IG* II² 10055)[20].

Βακχὶς
Γλαυκίου
Πελλαία.

κε΄. Ἀναθηματική, Πελαγονία, 3ος αἰ. μ.Χ. (*IG* X 2, 2, 188).

Ἀ̣ρτέμιδι Κυν[α]-
γῷ καὶ τῇ πόλει Ζω[ΐλος]
Διοσκουρίδου κ[αὶ Κασ]-
σάνδρα Κασσάνδ[ρου]
κατὰ κέλευσιν Ἀ[λε]-
ξάνδρας τῆς ἑαυ[τῶν]
θυγατρός, ἥτις κατὰ
ἐπιταγὴν Ἐφεσίας ⟦καὶ⟧
καὶ πατρωνίσσης Ἀρ-
τέμιδος διήγαγεν
παρθενείαν ἔτεσιν
κζ΄ · καὶ μετὰ ἀνδρὸς
μῆνας · η΄ · ἡμέρας
κβ΄ · καὶ ἐβίωσεν
ἐν Πέλλῃ.

κστ΄. Ἐπιτύμβια, Βέροια, 5ος - 6ος αἰ. μ.Χ. (*EKM* Α΄ 440)[21].

† Μημόριον [δ]ιαφέρ[ον]
Πατρ[ι]κείῳ ἀπὸ · ἐκ·δ(ίκων)
[. .]ΑΜ τῆς Διοκλητια-
νοῦ π(όλεως)· ἔνθα ἀπετέθ[η]
μη(νὶ) Ὀκτωβρίῳ ᾳ΄, ἰνδ(ικτιῶνος) [. .].

20. Στὶς *IG* τὸ ἐπιτύμβιο χρονολογεῖται στὴν αὐτοκρατορικὴ περίοδο, λόγῳ τῶν ἐντόνων ἀκρεμόνων (πρβλ. *IG* III 2855)· ἡ χρήση τοῦ ἐθνικοῦ τῆς Πέλλας ὅμως πολὺ μετὰ τὴν ἵδρυση τῆς ἀποικίας θὰ ἐξέπληττε.

21. Ἡ ταυτότητα τῆς Διοκλητιανουπόλεως στὴν ἐπιγραφὴ αὐτὴν παραμένει ἀβέβαιη· ἡ Papazoglou, *Villes* 140-41, μὲ τὴν παλαιότερη βιβλιογραφία, ἐκθέτει τοὺς λόγους γιὰ τοὺς ὁποίους ἡ ταύτισή της μὲ τὴν Πέλλα δὲν εἶναι ἡ πιθανώτερη.

ΕΙΣΑΓΩΓΗ

Ἱστορικὸ πλαίσιο

Ἡ ἀρχαιότερη μνεία τῆς Πέλλας ἀπαντᾶ πιθανώτατα σὲ ἀπόσπασμα τῆς *Περιόδου γῆς*, γεωγραφικοῦ ἔργου τοῦ Ἑκαταίου τοῦ Μιλησίου (τέλη 6ου αἰ. π.Χ.): *πρὸς μὲν νότον Πάωλα (;) καὶ Φάκος*[1]. Ὅπως πειστικὰ ὑποστήριξε ὁ N. G. L. Hammond[2] , ἡ παράθεση τοῦ ὀνόματος τῆς γνωστῆς παρὰ τὴν Πέλλα νησῖδος Φάκου μαζὶ μὲ τὴν παντελῶς ἄγνωστο *Πάωλα* καθιστᾶ σχεδὸν ἀναπόδραστη τὴν ἀναγνώριση τοῦ ὀνόματος τῆς Πέλλας κάτω ἀπὸ τὸ ἀμάρτυρο αὐτὸ τοπωνύμιο. Ἐπὶ πλέον ἡ διάκριση τοῦ γεωγράφου μεταξὺ τῆς Πέλλας καὶ τοῦ Φάκου ὑποδεικνύει ὅτι κατὰ τὰ τέλη τοῦ 6ου αἰ. π.Χ. ἐπρόκειτο ἀκόμη γιὰ δύο διακριτοὺς οἰκισμούς.

Ὁ Ἡρόδοτος (μαρτ. ΠΕΛ 2) κατὰ τὴν ἀφήγηση τῆς ἐκστρατείας τοῦ Ξέρξη μνημονεύει παρεμπιπτόντως τὴν Πέλλα ὡς πόλη τῆς *Βοττιαιίδος* ἡ ὁποία μοιράζεται μαζὶ μὲ τὶς Ἴχνες *τὸ παρὰ θάλασσαν στεινὸν χωρίον*, δηλαδὴ τὴν στενὴ γλῶσσα γῆς μεταξὺ τοῦ Ἀξιοῦ καὶ τῆς θάλασσας. Μὲ τοὺς ἴδιους σχεδὸν ὅρους τὴν ἀναφέρει καὶ ὁ Θουκυδίδης (μαρτ. ΠΕΛ 4) κατὰ τὴν ἐξιστόρηση τῆς ἐπεκτάσεως τοῦ μακεδονικοῦ κράτους ἀπὸ τοὺς προγόνους τοῦ Περδίκκα Β΄: *τῆς δὲ Παιονίας παρὰ τὸν Ἀξιὸν ποταμὸν στενήν τινα καθήκουσαν ἄνωθεν μέχρι Πέλλης καὶ θαλάσσης ἐκτήσαντο*. Σὲ ἄλλο χωρίο ὅπου περιγράφεται ἡ ἐκστρατεία τοῦ Θρακὸς βασιλέως Σιτάλκη κατὰ τῆς Μακεδονίας, ἡ Πέλλα μνημονεύεται μαζὶ μὲ τὴν Κύρρο ὡς πόλη τῆς *Βοττιαίας* δυτικὰ τοῦ Ἀξιοῦ (μαρτ. ΠΕΛ 5). Ἀπὸ τὰ ἀνωτέρω χωρία ἡ Πέλλα στὰ τέλη τοῦ 5ου π.Χ. αἰ., ὁπότε συγγράφει τὸ ἔργο του ὁ Θουκυδίδης, παρουσιάζεται ὡς πόλη ἱδρυμένη σὲ παιονικὸ ἔδαφος ποὺ εἶχε σχετικὰ πρόσφατα προσαρτηθεῖ στὴν μακεδονικὴ Βοττία. Κατὰ πᾶσαν πιθανότητα δὲν θὰ διέφερε πολὺ ἀπὸ ἄλλες πρόσφατα προσαρτημένες παράκτιες πόλεις - ἐμπόρια τοῦ Θερμαίου κόλπου, ὅπως οἱ Ἴχνες, ἡ Χαλάστρα, ἡ Σίνδος καὶ ἡ Θέρμη, οἱ ὁποῖες διακρίνονταν γιὰ τὸν «κοσμοπολιτικὸ» χαρακτῆρα τους[3]. Οἱ λιγοστὲς ἐπιγραφικὲς μαρτυρίες τοῦ 5ου αἰῶνος μὲ τὰ ὀνόματα τῶν Ἰώνων [Ὀρ(;)]θαγόρου καὶ Ἀριστοβούλης, τῆς Κορινθίας Τιμαρέτης καὶ τῶν Μακεδόνων Ξάνθου, Δημητρίου καὶ Ἀμαδίκας[4] ἐπιβεβαιώνουν αὐτὴν τὴν εἰκόνα.

Στὴν ἐμπάθεια τοῦ Δημοσθένους θὰ πρέπει μᾶλλον νὰ ἀποδοθεῖ ὁ χαρακτηρισμός του τῆς Πέλλας ὡς ἀσήμαντου καὶ μικροῦ οἰκισμοῦ κατὰ τὴν παιδικὴ ἡλικία τοῦ Φιλίππου Β΄ (μαρτ. ΠΕΛ 13). Τὸ πιθανώτερο εἶναι ὅτι ἤδη ἀπὸ τὶς πρῶτες δεκαετίες τοῦ 4ου αἰ. π.Χ. ἡ πόλη ἐγνώριζε ἀξιόλογη ἀνάπτυξη, ἀφοῦ ὁ Ξενοφῶν περιγράφοντας γεγονότα τοῦ 382 π.Χ. τὴν

---

1. Μαρτ. ΠΕΛ 1, ὅπου καὶ οἱ ἄλλες ἐκδοχὲς τῶν χειρογράφων καὶ τῶν ἐκδοτῶν γιὰ τὸ ἐπίμαχο τοπωνύμιο.

2. Hammond, *History* I 147.

3. Πρβλ. Hatzopoulos, *Institutions* I 107-108 καὶ 171-73.

4. Βλ. ἐπιγρ. ἀρ. **514**, **517**, **544**. Γιὰ ἄλλες ἐπιγραφὲς τοῦ τέλους τοῦ 5ου ἢ τῶν ἀρχῶν τοῦ 4ου αἰ. π.Χ. βλ. ἀρ. **485**, **489**, **531**.

χαρακτηρίζει ὡς τὴν *μεγίστη τῶν ἐν Μακεδονίᾳ πόλεων* (μαρτ. ΠΕΛ 6). Ἐν τούτοις, δεδομένου ὅτι ὁ Δημοσθένης (μαρτ. ΠΕΛ 13), ἀκολουθούμενος καὶ ἀπὸ τὸν Στράβωνα (μαρτ. ΠΕΛ 56· πρβλ. καὶ 126, 133), δὲν ἀναφέρει ὅτι ὁ Φίλιππος Β΄ γεννήθηκε στὴν Πέλλα, ἀλλὰ ὅτι ἁπλῶς ἀνετράφη ἐκεῖ, εἶναι πιθανώτερο ὅτι κατὰ τὴν γέννηση τοῦ νεώτερου γιοῦ του ὁ Ἀμύντας Γ΄ δὲν εἶχε ἀκόμη μεταφέρει τὴν συνήθη ἕδρα του ἐκεῖ. Ἡ κίνηση αὐτὴ θὰ περιλαμβάνεται μᾶλλον στὰ μέτρα ποὺ ἔλαβε ὁ πατέρας τοῦ Φιλίππου μετὰ τὴν ἐπιτυχῆ ἀπόπειρα τῶν Χαλκιδέων νὰ ἀποσπάσουν τὴν Πέλλα καὶ ἄλλες γειτονικὲς πρὸς τὴν Χαλκιδικὴ πόλεις ἀπὸ τὸ βασίλειο καὶ νὰ τὴν προσαρτήσουν στὸ κράτος τους[5]. Προφανῶς ἡ μετεγκατάσταση τῆς ἕδρας τοῦ βασιλέως στὴν πόλη δὲν ἐπαρκοῦσε γιὰ νὰ κατασιγάσει τὴν ροπὴ πρὸς αὐτονόμηση ἀπὸ τὴν βασιλικὴ ἐξουσία τῶν ἐξωστρεφῶν Πελλαίων ἐμπορευομένων, ὅπως ὁ Ἀθήναιος Δαμονίκου (μαρτ. ΠΕΛ α΄), οἱ ὁποῖοι λίγα χρόνια ἀργότερα ἐστράφησαν καὶ πάλι κατὰ τῆς δυναστείας, συνήργησαν ἴσως στὸν φόνο τοῦ Ἀλεξάνδρου Β΄ (368 π.Χ.) καὶ ὑποστήριξαν τὸν σφετεριστὴ Πτολεμαῖο τὸν Ἀλωρίτη[6]. Λίγα χρόνια ἀργότερα ἡ πόλη καὶ τὸ ἀνάκτορο τῆς Πέλλας, καθὼς καὶ ἡ δυνατότητα προσβάσεως σ' αὐτὴν ἀναπλέοντας τὸν Λουδία μνημονεύονται στὸν *Περίπλου* τοῦ Ψευδο-Σκύλακος (μαρτ. ΠΕΛ 7): *Πέλλα πόλις καὶ βασίλειον ἐν αὐτῇ καὶ ἀνάπλους ἐς αὐτὴν ἀνὰ τὸν Λυδίαν*. Ἀπὸ τὴν περίοδο τῆς βασιλείας τοῦ νόμιμου διαδόχου τοῦ Ἀλεξάνδρου Β΄ Περδίκκα Γ΄ καὶ μάλιστα ἀπὸ τὸ τελευταῖο ἔτος της, τὸ 360 π.Χ., χρονολογεῖται ὁ κατὰ γεωγραφικὴ σειρὰ συντεταγμένος κατάλογος τῶν θεωροδόκων τῆς Ἐπιδαύρου, ὅπου ἡ μνεία τῆς Μακεδονίας καὶ τοῦ θεωροδόκου βασιλέως Περδίκκα ἐμφανίζονται σὲ θέση ποὺ γεωγραφικὰ ἀντιστοιχεῖ σ' ἐκείνην τῆς Πέλλας[7].

Κατὰ τὴν βασιλεία τοῦ Φιλίππου Β΄ (360-336 π.Χ.) ἡ Πέλλα προσλαμβάνει τὴν μορφὴ μεγάλης πρωτεύουσας. Ἡ πληροφορία τοῦ Στράβωνος (μαρτ. ΠΕΛ 57) ὅτι ὁ βασιλεὺς *ηὔξησε τὴν πόλιν ἐκ μικρᾶς* ἐπιβεβαιώνεται τόσο ἀπὸ τὴν ἀρχαιολογικὴ ἔρευνα (βλ. κατωτέρω) ὅσο καὶ ἀπὸ τὴν θεαματικὴ αὔξηση τῶν φιλολογικῶν μαρτυριῶν ποὺ τὴν ἀφοροῦν. Οἱ λόγοι τοῦ Δημοσθένους καὶ τοῦ Αἰσχίνη (μαρτ. ΠΕΛ 9-17) περιγράφουν τὴν συρροὴ ἐκεῖ πρεσβευτῶν ἀπὸ πλῆθος πόλεων τῆς Νοτίου Ἑλλάδος καὶ ἐξιστοροῦν μὲ γλαφυρότητα πραγματικὲς ἢ φανταστικὲς λεπτομέρειες δολοπλοκιῶν, ὅπως τὸν θρυλούμενο νυκτερινὸ ἀνάπλου μὲ μονόξυλο τοῦ Λουδία ἀπὸ τὸν Αἰσχίνη, σπεύδοντα νὰ συναντηθεῖ κρυφὰ μὲ τὸν Φίλιππο (μαρτ. ΠΕΛ 16). Ἡ Πέλλα δὲν προσείλκυε μόνον πρεσβεῖες ξένων κρατῶν, ἀλλὰ ἐπίσης διακεκριμένους καὶ φιλόδοξους Μακεδόνες ἀπὸ ὅλην τὴν ἐπικράτεια. Εἶναι χαρακτηριστικὸ ὅτι ἡ Πέλλα ἦταν ἡ πόλη ἡ ὁποία συνέβαλλε μὲ τὸν μεγαλύτερο ἀριθμὸ ἑταίρων στὴν αὐλὴ τοῦ Μεγάλου Ἀλεξάνδρου[8] καὶ ὅτι οἱ μισοὶ ἀπὸ τοὺς ὀκτὼ σωματοφύλακες τοῦ βασιλέως ἦσαν Πελλαῖοι (μαρτ. ΠΕΛ 84). Πολλοὶ ἀπὸ αὐτοὺς εἶχαν ὡς *βασιλικοὶ παῖδες* διατελέσει σύντροφοι καὶ συμμαθητές του[9]. Μποροῦμε νὰ ἀναπαραστήσομε τὸν Ἀλέξανδρο τὸ 346 π.Χ. σὲ ἡλικία δέκα ἐτῶν στὸ

5. M. B. Hatzopoulos, «Strepsa: A Reconsideration», στὸ *Two Studies* 42-44· τοῦ ἰδίου, *Institutions* I 177 καὶ 471-72.

6. P. Roesch, «Un décret inédit de la Ligue thébaine et la flotte d'Epaminondas», *REG* 97 (1984) 45-60. Βλ. σχετικὰ M. B. Hatzopoulos, «La Béotie et la Macédoine à l'époque de l'hégémonie thébaine: le point de vue macédonien», στὸ *La Béotie antique* 253-55.

7. *IG* IV^2 1, 94 (στ. 9).

8. G. T. Griffith, στὸ *History* II 402, σημ. 1.

9. Ἀρρ., *Ἀνάβ.* 3.6.5-6· Πλουτ., *Ἀλέξ.* 10.3

ἀνάκτορο τοῦ πατέρα του νὰ παίζει λύρα, νὰ ἀπαγγέλλει ποίηση καὶ νὰ συναγωνίζεται σὲ ρητορικὴ ἱκανότητα ἕνα σύντροφό του ἐνώπιον τῶν συμποσιαζομένων ξένων πρεσβευτῶν[10], νὰ ὑποβάλλει ἐξονυχιστικὲς ἐρωτήσεις σὲ Πέρσες ἀπεσταλμένους ποὺ φιλοξενοῦσε κατὰ τὴν ἀπουσία τοῦ πατέρα του[11] ἢ νὰ κατεβαίνει ἀπὸ τὸ ἀνάκτορο στὸ πεδίο ἀσκήσεων γιὰ νὰ δαμάσει τὸν Βουκεφάλα[12].

Παρ' ὅλον ὅτι ἡ Πέλλα δὲν κατέχει πρωταγωνιστικὴ θέση, ὅπως ἡ Πύδνα ἢ ἡ Ἀμφίπολη, ἐν τούτοις δὲν εἶναι τελείως ἀποῦσα ἀπὸ τὴν ταραγμένη περίοδο τῶν Διαδόχων. Ὁ Διόδωρος τὴν μνημονεύει δύο φορὲς μαζὶ μὲ τὴν Ἀμφίπολη ὡς πόλεις ποὺ κατὰ τὴν σύγκρουση μεταξὺ Ὀλυμπιάδος καὶ Κασσάνδρου ἔμειναν πιστὲς στὴν βασίλισσα ἀκόμη καὶ μετὰ τὸν ἀποκλεισμό της στὴν Πύδνα. Ἡ στάση τους ἀποδίδεται σὲ δύο ὀπαδοὺς τῆς Ὀλυμπιάδος, τὸν Μόνιμο καὶ τὸν Ἀριστόνου ἀντίστοιχα (μαρτ. ΠΕΛ 32). Μετὰ ὅμως τὴν σύλληψη τῆς βασίλισσας ὁ Μόνιμος παρέδωσε ἀμέσως τὴν Πέλλα στὸν Κάσσανδρο, ἐνῷ ὁ Ἀριστόνους ἀντιστάθηκε μέχρις ὅτου ἔλαβε γραπτὴ ἐντολὴ ἀπὸ τὴν Ὀλυμπιάδα[13]. Τὸ ἐκ πρώτης ὄψεως παράδοξο εἶναι ὅτι τόσο οἱ φιλολογικὲς ὅσο καὶ οἱ ἐπιγραφικὲς μαρτυρίες συσχετίζουν τὸν Ἀριστόνου μὲ τὴν Πέλλα καὶ ὄχι μὲ τὴν Ἀμφίπολι. Στὸν κατάλογο τῶν ὀκτὼ σωματοφυλάκων τοῦ Μεγάλου Ἀλεξάνδρου ποὺ παραθέτει ὁ Ἀρριανὸς κατὰ τὴν ἀφήγηση τῆς πορείας διὰ τῆς Καρμανίας (325 π.Χ.) συγκαταλέγεται ὁ Ἀριστόνους Πεισαίου μεταξὺ τῶν τεσσάρων σωματοφυλάκων ποὺ κατάγονταν ἀπὸ τὴν Πέλλα (μαρτ. ΠΕΛ 83). Ἀντίθετα, στὸν κατάλογο τῶν τριηράρχων ποὺ ὁρίσθηκαν τὸ προηγούμενο ἔτος (326 π.Χ.) στὸν Ὑδάσπη ὁ Ἀριστόνους δὲν ἐμφανίζεται μαζὶ μὲ τοὺς ἐννέα Πελλαίους, ἀλλὰ μαζὶ μὲ τὸν Πτολεμαῖο Λάγου ὡς Ἐορδαῖος (μαρτ. ΠΕΛ 84). Ἡ ἀντίφαση ἔχει ἀποδοθεῖ στὴν μετεγκατάσταση καὶ μεταπολιτογράφηση τοῦ Ἐορδαίου Ἀριστόνου στὴν βασιλικὴ πρωτεύουσα[14]. Δεδομένου ὅτι ὁ κατάλογος τῶν τριηράρχων περιέχει καὶ ἄλλες ἀντιφάσεις, δὲν εἶναι ἀπίθανο καὶ ἡ κατάταξη τοῦ Ἀριστόνου ὡς Ἐορδαίου στὴν *Ἰνδικὴ* νὰ ὀφείλεται ἐπίσης σὲ σφάλμα· ἐξ ἄλλου, δὲν ἀποκλείεται οἱ κεραμίδες ποὺ ἔχουν ἀνευρεθεῖ κατὰ τὶς ἀνασκαφὲς τῆς Πέλλας καὶ φέρουν τὸ ὄνομα Ἀριστόνους[15] νὰ πρέπει νὰ συσχετισθοῦν μὲ αὐτόν. Περιέργως, ὁ Ἀριστόνους σὲ δύο μεταγενέστερα (περ. 319-316 π.Χ.) ἐπιγραφικὰ κείμενα, ἕνα τιμητικὸ ψήφισμα τῆς Ἐρέτριας[16] καὶ κατάλογο θεωροδόκων τῶν Νεμείων (μαρτ. ΠΕΛ δ΄), δὲν μνημονεύεται ὡς Πελλαῖος, ἀλλὰ καὶ τὶς δύο φορὲς χωρὶς πατρώνυμο καὶ χωρὶς ἐθνικό. Ἐν τούτοις ἡ θέση ποὺ καταλαμβάνει στὸν κατάλογο, μετὰ τοὺς θεωροδόκους τῆς Λητῆς καὶ τῆς Ἀλλάντης, ἀντιστοιχεῖ σ' αὐτὴν ποὺ θὰ ἀνεμένετο γιὰ τὸν θεωροδόκο τῆς Πέλλας[17]. Ἡ ἀπουσία τοῦ ἐθνικοῦ στὰ ἐπιγραφικὰ τεκμήρια ἔχει ἀποδοθεῖ σὲ ἔλλειψη ἐνδιαφέροντος γιὰ τὴν ἀκριβῆ *πολιτεία* προσωπικοτήτων ποὺ ἦσαν σημαντικὲς

10. Αἰσχίν., *Κατὰ Τιμάρχου* 166-169.

11. Πλουτ., *Ἀλέξ.* 5.1.

12. Πλουτ., Ἀλέξ. 6.1· πρβλ. μαρτ. ΠΕΛ 110 καὶ 118.

13. Διόδ. 19.50.7-8.

14. Πρβλ. Berve, *Alexanderreich* II 69, σημ. 1· N. G. L. Hammond, στὸ *History* II 650· Knoepfler, *Eretria* XI 186-90· Paschidis, *Between City and King* 448-49.

15. Βλ. Βασιλικῆς Μισαηλίδου-Δεσποτίδου, «Ἐνσφράγιστες κεραμίδες ἀπὸ τὸ Ἀνάκτορο τῆς Πέλλας», *Ἀρχαία Μακεδονία* V (1989 [1993]) 975-97, ἰδίως 978-79 καὶ εἰκ. 8 (*SEG* 39 [1989] 623), μὲ τὴν παλαιότερη βιβλιογραφία.

16. *IG* XII 9, 221· Knoepfler, *Eretria* XI 186-90.

17. Gounaropoulou – Hatzopoulos, *Milliaires* 58, σημ. 6.

ὄχι τόσο στὸ πλαίσιο τῆς ἰδιαίτερής τους πατρίδος ὅσο στὸ περιβάλλον τῶν ἑλληνιστικῶν ἡγεμόνων[18]. Ὁ Ἀριστόνους πράγματι θὰ μποροῦσε νὰ φανεῖ χρήσιμος στοὺς θεωροὺς τοῦ Νεμείου Διὸς καὶ ἐκτὸς τῆς ἰδιαίτερής του πατρίδος, ὅπως π.χ. ὡς φρούραρχος μιᾶς πόλεως ποὺ αὐτοὶ θὰ ἐπισκέπτονταν γιὰ νὰ ἀναγγείλουν τὰ Νέμεια[19].

